Σίφαι, πόλις τῆς Βοιωτίας παραθαλάσσιος ἐπὶ τῦ Κορινθιακῦ κόλπυ κειμένη ὀ μακρὰν τῶν Πηγῶν· καλεῖται δὲ ταυῦν Λιβαδόστρα κατὰ τὸν Μελέτιον.

Σκάνδεια, πόλις ἐν τῇ νήσῳ Κυθήρᾳ (τζιρίγο) παραθαλάσσιος πρὸς ἀνατολὰς βλέπυσα· ἐν ᾗ ἦν ποτὲ τὸ ἱερὸν

τῆς

τῆς Ἀφροδίτης, ἣ τὸ ἄγαλμα ταύτης ὡράτο καθωπλισμένον, ἔχον τοιαύτην ἐπιγραφήν· τὰν χεῖρα ποτὶ φέροντα δεῖ τὰν τύχαν ἐπικαλεῖν.

Σκιρῖτις, πόλις ἐν τῇ Ἀρκαδίᾳ τῆς Πελοποννήσου περὶ τὰ μεθόρια τῆς Λακωνικῆς.

Σκιώνη, πόλις ἐν τῇ Παλλήνῃ τῆς Μακεδονίας παραθαλάσσιος τετραμμένη πρὸς δύσιν.

Σκόνιος, ὄρος ἐν Μακεδονίᾳ βορειότερον περὶ τὰ μεθόρια συνεχόμενον μετὰ τοῦ Αἵμου.

Σκύθαι, οἱ πέραν τοῦ Ἴστρου κατοικοῦντες, ἔνθα ταυῦν εἰσὶν οἱ Βλάχοι λεγόμενοι ἄποικοι τῶν Ῥωμαίων.

Σκύλλαιον, ἀκρωτήριον τῆς Πελοποννήσου τὸ ἀνατολικώτερον ἐν τῇ Ἀργολίδι.

Σκύρος, νῆσος ἐν τῷ Αἰγαίῳ πελάγει, διάσημος ἐκ τοῦ Ἀχιλέως κρυβέντος ἐκεῖσε εἰς τὴν ἐκστρατείαν τῶν Ἑλλήνων κατὰ τῶν Τρώων ἐν τῷ θαλάμῳ τοῦ Λυκομήδους μετὰ τῶν θυγατέρων αὐτοῦ.

Σκῶλος, πόλις ἐν Μακεδονίᾳ ἐν τῇ Χαλκιδικῇ μεταξὺ Μηκυβέρνης καὶ τῆς Ὀλύνθου.

Σόλιον, πόλις ἐν Ἀκαρνανίᾳ παραθαλάσσιος πρὸς τὸ δυτικὸν τοῦ Ἀχελῴου ποταμοῦ.

Σολύγεια, κώμη τις ἐν τῷ Σαρωνικῷ κόλπῳ ἐπὶ τῆς Πελοποννήσου, καὶ ἐξ αὐτῆς Σολύγειος λόφος.

Σούνιον, τὸ τελευταῖον ἀκρωτήριον τῆς Ἀττικῆς πρὸς μεσημβρίαν καὶ πάσης τῆς Ἑλλάδος.

Σπάρτη, ἡ ἔνδοξος ἡ πρωτεύουσα τῆς Λακωνικῆς· ὄρα ἐν τῷ Λακεδαίμων.

Σπάρτωλος, πόλις ἐν Μακεδονίᾳ παραθαλάσσιος μεταξὺ τῆς Θέρμης καὶ τοῦ Γιγῶνα ἀκρωτηρίου ἐπὶ τοῦ Θερμαϊκοῦ κόλπου.

Στά-

Στάγειρος, πόλις ἐν Μακεδονίᾳ διάσημος διὰ τὸ εἶναι πατρὶς τοῦ περιφήμου φιλοσόφου Ἀριστέλους, κεῖται δὲ μικρὸν ἀνωτέρω τοῦ Πιερικοῦ κόλπου ἐν μεσογείῳ.

Στράτος, πόλις ἐν Ἀκαρνανίᾳ περὶ τὰς ὄχθας τοῦ Ἀχελῴου, ἥτις καὶ στράτιον ἐλέγετο ἡ αὐτὴ, καὶ λείψανα ἔτι τῆς ἀρχαιότητος αὐτῆς εἰς ἐρείπεια σώζονται κατὰ τὸν Μελέτιον, νῦν δὲ Σεροβίγλι καλεῖται.

Στρογγύλη, ὄρος ἐν Σικελίᾳ μία τῶν Αἰολίδων, ἀπέχουσα ἐκεῖθεν μικρὸν πλησιάζουσα πρὸς τὴν Ἰταλίαν καὶ ὀνομάζεται, κατὰ τὸν Μελέτιον, ταυῦν Στρομπόλι, ὅσα καὶ πυροβόλος.

Στρυμών, ποταμὸς ἐν τῇ Μακεδονίᾳ, εἰσβάλλων εἰς τὸ Ἀρχιπέλαγος κατὰ τὸν κόλπον τὸν Πιερικόν.

Στύρα, πόλις ἐν τῇ νήσῳ Εὐβοίᾳ παραθαλάσσιος πρὸς ἀνατολὰς, ταυῦν δὲ Στῦρα κατὰ τὸν Μελέτιον λεγομένη.

Σύβαρις, ποταμὸς ἐν τῇ Ἰταλίᾳ, εἰσρέων εἰς τὸν κόλπον τῶν Ταραντίνων.

Σύβοτα, νησίδια τινὰ περὶ τὸ ἀκρωτήριον Λευκίμμην εἰς Κέρκυραν· ἔσι δὲ καὶ λιμήν τις ὕστω καλούμενος ἀντικρυς εἰς τὴν Ἤπειρον ἐν τῇ Θεσπρωτίδι.

Συκὴ, χωρίαντι ἢ κώμη περὶ τὰς Συρακέσας ἐν τῇ Σικελίᾳ.

Σύμαιθος, ποταμὸς ἐν Σικελίᾳ πρὸς ἀνατολὰς ῥέων, καὶ εἰσβάλλων εἰς θάλασσαν περὶ τὸ μέσον τῆς ἀνατολικῆς πλευρᾶς κατὰ τὴν πόλιν Κατάνην.

Συρακοῦσαι, πόλις διάσημος, καὶ μεγαλωτάτη ποτὲ γενομένη ἐν Σικελίᾳ, κειμένη παρὰ τὴν θαλάσσαν ἐπὶ τῆς ἀνατολικῆς πλευρᾶς, τῆς ὁποίας ἡ περίμετρος κατὰ τὸν Διόδωρον ἦτον σταδίων ἑκατὸν ὀγδοήκοντα, μιλίων δηλονότι εἴκοσι δύο.

Σφακτηρία, νῆσος σμικρὰ καὶ ἔρημος ἀπέναντι τῆς ἐν Πελοποννήσῳ Μεσσήνης κατὰ τὴν Πύλαν, διάσημος ὅμως ἐν τῷ

πα-

παρόντι γενομένη πολέμῳ διὰ τὰ κακὰ τῶν Λακεδαιμονίων, τὰ ὁποῖα ἔπαθον αὐτόθι ὑπὸ τῶν Ἀθηναίων.

Ἀρχὴ τοῦ Τ.

Ταίναρος, ἀκρωτήριον ἔσχατον πρὸς νότον ἐν τῇ Πελοποννήσῳ ἐπὶ τῆς Λακωνικῆς.

Τάναγρα, πόλις ἐν Βοιωτίᾳ ἐν τοῖς μεθορίοις τῆς Ἀττικῆς.

Τάραντα, ἡ Τάρας ἑνικῶς ἢ ἀρσενικῶς παρὰ τῷ Θουκυδίδῃ, πόλις ἐν τῇ Ἰταλίᾳ παραθαλάσσιος ἐπὶ τοῦ ἐξ αὐτῆς ὀνομασθέντος κόλπου Ταραντικοῦ πρὸς τὸ Ἰόνιον ἀποβλέπουσα πέλαγος, ἔχουσα ἢ λιμένα εὐρύχωρον.

Ταυλάντιοι, ἔθνος τι τῆς Ἠπείρου βάρβαρον πλησίον τῆς Ἐπιδάμνου.

Τέγεα, πόλις ἐν τῇ Ἀρκαδίᾳ τῆς Πελοποννήσου πλητιόχωρος τῆς Μαντινείας, ἐρίπειον ὂσα τὰ νῦν πλησίον εἰς τὴν ἐπισκοπὴν τῆς Τραπολιτζᾶς.

Τειχιοῦσα, πόλις ἐν τῇ Ἀσίᾳ παραθαλάσσιος πρὸς τὸ μεσημβρινὸν τῆς Μιλήτου.

Τένεδος, νῆσος ἐν τῷ Αἰγαίῳ πελάγει πλησίον τῆς εἰσόδου εἰς τὸν Ἑλλήσποντον, ἀπέναντι τῆς Τρωάδος, ἔχει δὲ ἢ πόλιν ὁμώνυμον, ἢ περιφέρειαν εἴκοσι μιλίων.

Τεριναῖος κόλπος, ἡ Τιρινατῖος ἀπὸ τῆς Τιρίνης ποταμοῦ ἐν Ἰταλίᾳ, ἄλλοι δὲ τιθέασιν αὐτὸν ἐν τῇ Σικελίᾳ πρὸ τῆς Κατάνης, ἢ τῶν Λεοντίνων.

Τέως ἢ Τῆος, πόλις παραθαλασσία ἐν τῇ Ἀσίᾳ μεταξὺ τῶν Ἐρυθρῶν ἢ τῆς Κλάρου ἀπέναντι τῆς Σάμου πρὸς Βορέαν ἄνεμον.

Τῆνος, νῆσος μία τῶν Κυκλάδων ἔχουσα ἢ πόλιν ὁμώνυμον, περιφέρειαν δὲ κατά τινας μὲν πεντήκοντα μιλίων, κατά τινας δὲ τεσσαράκοντα.

Τη-

Τηγίας, ἢ Τηγέας, ποταμὸς ἐν Σικελίᾳ πρὸς ἀνατολὰς ῥέων περὶ τὸ μέσον τῆς ἀνατολικῆς πλευρᾶς διὰ τῶν Λεοντίνων εἰσβάλλει εἰς θάλασσαν.

Τιλαταῖοι, ἔθνος ἐν Θράκῃ πρὸς τὸ βορειότερον περὶ τὰς ὑπωρείας τοῦ Ὄρους Αἵμου.

Τίχιον, ἐν Αἰτωλίᾳ πόλις μεσόγειος.

Τολοφὼν, πόλις μεσόγειος ἐν Λοκροῖς τοῖς Ὀζόλοις πρὸς τὸ δυτικοβόρειον τοῦ Παρνασσοῦ.

Τομεὺς, πόλις ἢ χωρίον ἐν τῇ Μεσσηνίᾳ τῆς Πελοποννήσου παρὰ τὴν θάλασσαν εἰς τὸ βάθος τοῦ Μεσσηνιακοῦ κόλπου πρὸς δύσιν.

Τορώνη, πόλις Χαλκιδικὴ ἐν Μακεδονίᾳ παραθαλάσσιος ἐν τῇ μεσαίᾳ Χερρονήσῳ.

Τραγία, νῆσος περὶ τὴν Σάμον ἢ Μίλητον· εἶναι δὲ ἢ ἄλλα νησίδια πέρξ· τὰ ὁποῖα ὀνομάζουσι νήσους Τραγαίας.

Τραχίνιοι, ἔθνος ἐν τοῖς μεθορίοις τῆς Θεσσαλίας πρὸς τὴν Βοιωτίαν· ὄρα, ἢ Μηλιεῖς.

Τρῆρες, ἔθνος Βάρβαρον περὶ τὰς ἀρχὰς τοῦ Στρυμόνος πρὸς τὸ βόρειον τῆς Μακεδονίας ἢ Θράκης.

Τριβαλλοὶ, ἔθνος οἱ μετὰ τὸν Αἷμον οἰκοῦντες, ὅπου νῦν οἱ Βεργάροι.

Τριόπιον, ἀκρωτήριον ἐν τῇ Κνίδῳ εἰς τὴν δυτικὴν γωνίαν τῆς Ἀσίας ἀντιπέρας τῆς Κῶ.

Τριποδίσκος, κώμη τις εἰς τὰς ὑπωρείας τῆς Γερανείας ἐν τῷ Ἰσθμῷ τῆς Κορίνθου.

Τριτανεῖς, ἔθνος τι ἐν Λοκροῖς τοῖς Ὀζόλοις.

Τρώγιλος, πόλις ἐν Σικελίᾳ μικρὸν ἀπέχουσα τῆς θαλάσσης ἐπὶ τῆς βορείας πλευρᾶς πλησίον τοῦ Πανόρμου πρὸς ἀνατολάς.

Τρώτιλον, πόλις ἐν Σικελίᾳ, μικρὸν ἀπέχουσα τῆς θαλάσσης ἐπὶ τῆς βορείας πλευρᾶς πρὸς δύσιν τοῦ Πανόρμου.

Τροι-

Τροιζὴν, πόλις ἐν Πελοποννήσῳ ἐπὶ τῆς Ἀργολίδος ἐνδεξιᾷ εἰσπλέοντι τὸν Ἀργολικὸν κόλπον.

Τρωὰς ἡ Τροία, πόλις ποτὲ ἔνδοξος ἀπὸ τῆς ἐκστρατείας τῶν Ἑλλήνων κατ' αὐτῆς ἐν τῇ Ἀσίᾳ ἐν ἀριστερᾷ ἐξιόντι τοῦ Ἑλλησπόντου· νῦν δὲ ὀνομάζεται ἔτως ἡ περὶ αὐτὴν χώρα, ὡς μία ἐπαρχία.

Τυρσηνία, ἐπαρχία μᾶλλον αὕτη, ἡ πόλις ἐν τῇ βορείῳ τῆς Σικελίας πλευρᾷ κειμένη παραθαλάσσιος κατὰ τὸ μέσον πρὸς δύσιν τῶν Ὑκκάρων· ἕτεροι δὲ λέγουσι νὰ εἶναι ἡ Τυρσηνία ἡ Τυρρηνία ἡ νῦν λεγομένη Τοσκάνα, ἐκ τῆς γενικῆς Τυρσηνίας λαβοῦσα τὴν κλῆσιν, ἥτις ἐλέγετο ποτὲ ἡ πᾶσα Ἰταλία, ἐξ ἧς, φασὶ, καὶ ἡ Θάλασσα Τυρρηνικὴ, δὲν ἰξεύρω ὅμως τὶ βέλεται νὰ εἰπῇ μὲ τοῦτο ὁ συγγραφεὺς προσλαμβάνων ἐν τῷ λόγῳ τοσαύτην ἔκτασιν, τῶν πραγμάτων μὴ ἀπαιτούντων.

Ἀρχὴ τοῦ Υ.

Ὑάτοι, ἔθνος τι ἐν τῇ Λοκρίδι τῶν Ὀζόλων.

Ὕβλα, πόλις ἐν Σικελίᾳ μεσόγειος ἐπὶ τῶν ἀριστερῶν ὄχθων τοῦ Συμαίθου ποταμοῦ πρὸς δύσιν τῆς Κατάνης.

Ὕκκαρα, πόλις ἐν Σικελίᾳ ἐπὶ τῆς βορείου πλευρᾶς αὐτῆς περὶ τὸ μέσον, μικρὸν ἀπέχουσα τῆς θαλάσσης.

Ὑλίας, ποταμὸς ἐν τῇ Ἰταλίᾳ εἰσερχόμενος εἰς τὴν θάλασσαν περὶ τὰ μεθόρια τῆς Θουρίας πρὸς δύσιν.

Ὑλλαϊκὸς, ἢ Ὑλλικὸς, λιμὴν ἐν τῇ Κερκύρᾳ νήσῳ ὕτω καλούμενος ἀπὸ τοῦ Ὕλλου τοῦ Υἱοῦ τοῦ Ἡρακλέους ἀπὸ τῆς Μελίτης.

Ὑσιαὶ, χωρίον τι ἂν τῇ Ἀργολίδι τῆς Πελοποννήσου.

Ὑσίαι χωρίον, ἡ κώμητις ἐν ταῖς Πλαταιαῖς τῆς Βοιωτίας.

Ἀρ-

Ἀρχὴ τοῦ Φ.

Φάγρης, πόλις μεταξὺ τοῦ Στυμόνος ἢ τοῦ Νέσου ἐν Μακεδονία εἰς τὴν μεσόγαιαν.

Φαίακες, οἱ κάτοικοι τῆς Κερκύρας· ἥτις τὸ πάλαι ἐλέγετο Φαιακία ἀπὸ τοῦ Φαίακος τοῦ Υἱοῦ τοῦ Ποσειδῶνος, ὡς εὐδοκιμήσαντες εἰς τὴν ναυτικήν.

Φάκιον, πόλις ἐν τῇ Θεσσαλίᾳ ἐπὶ τοῦ Ἀπιδανοῦ ποταμοῦ, πρὸς ἀνατολὰς τῆς Λαρίσσης.

Φαληρὸν, δῆμος τῶν Ἀθηναίων πρὸς τῷ Πειραιεῖ τῷ λιμένι, εἰς ὃν κατέβαινε τὸ ἓν σκέλος τῶν μακρῶν τειχῶν ἀπὸ τῆς πόλεως.

Φαναὶ, ἀκρωτήριον ἐν τῇ νήσῳ Χίῳ τὸ πλέον μεσημβρινώτερον.

Φανότις, χώρα, ἡ κώμη ἐν τῇ Φωκίδι τῆς Βοιωτίας.

Φάρος, πόλις ἐν Αἰγύπτῳ, ἢ νῆσος ἐν ᾗ ἦν Πύργος ὑψηλὸς ἔχων φανάρι τὴν νύκτα εἰς εὐκολίαν τῶν Πλωϊζομένων.

Φάρσαλος, πόλις Μακεδονίας, τὰ νῦν Φέρσαλα εἰς τὸν ποταμὸν Ἐνιπέα.

Φασῆλις, πόλις ἐν τῇ Ἀσίᾳ παραθαλάσσιος ἐπὶ τοῦ Εὐρυμέδοντος ποταμοῦ.

Φειὰ, ἡ Φιὰ, πόλις τῶν Ἠλείων ἐν τῇ Πελοποννήσῳ παραθαλάσσιος πρὸς τὴν δύσιν βλέπουσα ἄντικρυς εἰς τὴν Ζάκυνθον.

Φεραὶ, πόλις ἐν Θεσσαλίᾳ ἀνωτέρω τῶν Πεγασῶν πρὸς Βορέαν· λέγεται δὲ τὰ νῦν, κατὰ τὸν Μελέτιον, Γιανίτζαρο, ἢ Σίδρο.

Φθιῶτις, ἐπαρχία τῆς Θεσσαλίας ἡ ἀνατολικωτέρα, ἐν ᾗ ἡ Φθία πόλις ἡ πατρὶς τοῦ Ἀχιλέως ἡ Ἐριβώλαξ ἢ Βοτιάνειρα πρὸς τὸν Αἰγιαλὸν τοῦ Μαλιακοῦ κόλπου· τῆς δὲ Φθιώτιδος ἡ πρωτεύουσα νῦν εἶναι αἱ Θεσσαλικαὶ Θῆβαι, τὸ Ζητούνιον δηλονότι.

Φλιά-

Φλιάσιοι, ἐκ τῆς πόλεως Φλιοῦντος· ἥτις ἔσιν ὡς ἐν τριγώνῳ πρὸς τὴν Σικυῶνα ϗ Πελλήνην ἐν Πελοποννήσῳ.

Φλιοῦς, πόλις ἐν τῇ Ἀχαΐᾳ τῆς Πελοποννήσε, ἐξ ἧς οἱ πολῖται Φλιάσιοι λέγονται· κεῖται δὲ αὕτη ἐν τῇ μεσογείῳ ἀπέχουσα τῆ Κορινθιακῆ κόλπε πρὸς μεσημβρίαν μίλια δώδεκα.

Φοίνικες, ἐκ τῆς ἐπαρχίας Φοινίκης τῆς ὕσης ἐν τῇ Συρίᾳ παραθαλασσίᾳ, ϗ περιοριζομένης ἐκ μὲν τῶν Βορείων ὑπὸ τε ποταμε ἐλευθέρε· ἀπὸ δὲ μεσημβρίας ὑπὸ τε Χερσαίε· οἱ Φοίνικες ἔσαθησαν ἄξιοι ϗ περιβόητοι, κτίσαντες πόλεις εἰς διαφόρες ἐπαρχίας, οἱ πρῶτοι ἐφευρόντες τὰ γράμματα ϗ τὴν ναυτιλίαν κατὰ τὸν Πλίνιον.

Φρύγια, δῆμος, ἢ χωρίοντι ἐν τῇ Ἀττικῇ.

Φύρκον, τεῖχος ἐν τῇ Πελοποννήσῳ ἐν τοῖς μεθορίοις τῆς Ἠλείας.

Φύσκα, πόλις ἐν Μακεδονίᾳ βορειοτέρα πρὸς τὰς πηγὰς τε Ἀξίε ποταμε.

Φυτία, πόλις ἐν Ἀκαρνανίᾳ περὶ τὰς ὄχθας τε Ἀχελώε ποταμε.

Φώκεια, πόλις ἐν τῇ Ἀσίᾳ παραθαλάσσιος ἄντικρυς εἰς τὴν Λέσβον μεταξὺ τῶν ποταμῶν Καΐκε ϗ Ἕρμε· ὠνομάζεται δὲ τὰ νῦν Φώκαιαις παλαιαῖς.

Φωκαεῖς, ἀπὸ τῆς πόλεως Φωκαίης· ἥτις κεῖται παραθαλάσσιον ἐν τῇ Ἀσιανῇ μεταξὺ τῶν ποταμῶν Καΐκε ϗ Ἕρμε πρὸς τῇ Σμύρνῃ.

Φωκεῖς, οἱ κάτοικοι τῆς ἐπαρχίας Φωκίδος· ὅρα ἀνωτέρω περὶ ταύτης φύλ. 132.

Φωκεῖς, μέρος τι ὀχυρὸν τῆς πόλεως τῶν Λεοντίνων ἐν Σικελίᾳ ἕτω καλέμενον.

Ἀ ρ-

Ἀρχὴ τε Χ.

Χαιρώνεια, πόλις τῆς Φωκίδος διάσημος· ἥτις ἐλέγετο πρότερον Ἄρνη, ὠνομασθεῖσα ἀπὸ τε Χαίρωνος τε Υἱε τε Ἀπόλλωνος, τὰ νῦν δὲ ἐρίπειον ὄσα καλεῖται Κάτραινα· πατρὶς ἦτον αὕτη τε Πλυτάρχε ϗ τε Σέξτε τῶν περιφήμων.

Χαλκιδεῖς, ἔθνος ἐν Μακεδονίᾳ ἐν τῷ ὄρει Ἄθωνι ϗ πέριξ αὐτε ἀποκαθισάμενον.

Χαλκυδών, πόλις ἐν Ἀσίᾳ παράθαλάσσιος ἐπὶ τῆς Προποντίδος εἰς τὸ ἀντιπέρας τε Βυζαντίε.

Χαλκὶς, Χαλκίδες πόλεις εἶναι τέσσαρες, μία μὲν εἰς τὴν Αἰτωλίαν, ἑτέρα δὲ εἰς τὴν Εὔβοιαν παράθαλάσσιος ἐν τῷ ςενῷ Εὐρίπῳ, τὰ νῦν δὲ αὐτὸ τὸ τεῖχος πόλις, ὀνομαζόμενος Εὔριπος· ἑτέρα δέ τις ἐν τῇ Πελοποννήσῳ, ϗ ἄλλη εἰς τὴν Σικελίαν.

Χάλκη, νῆσος σμικρὰ πλησίον τῆς Ῥόδε πρὸς δυσμάς.

Χαλλαῖοι, ἔθνος τι ἐν Λοκροῖς τοῖς Ὀζόλοις.

Χάονες, ἔθνος ἐν τῇ Ἠπείρῳ ἄντικρυς εἰς τὴν νῆσον Κέρκυραν, ὅπε ὁ τόπος ἕτος τανῦν ὀνομάζεται Δέλβινον.

Χάρυβδις, ἀκρωτήριον τῆς Σικελίας ἐν τῷ ςενωτέρῳ τε Πορθμε ϗ μακρὰν τῆς Μεσσήνης πρὸς Βορέαν, τὸ ὁποῖον τὰ νῦν λέγεται Κάπο Φάρο.

Χειμέριον, ἀκρωτήριον μεταξὺ τε Ἀχέρωνος ϗ τε Θυάμιδος ποταμε, ἀπολῆγον εἰς ὀξὺ εἰς τὸ Ἰόνιον πέλαγος.

Χερρόνησος, ἡ ἐν τῇ Θράκῃ, ὅσον ἀνήκει εἰς τὴν παρεσαν πραγματίαν· ἡ ὁποία σχηματίζει τὸ ςενὸν τε Ἑλλησπόντε.

Χίος, ἡ νῆσος περίφημος ϗ τὸ πάλαι ϗ νῦν, κειμένη ἐν τῷ Ἰκαρίῳ πελάγει· τῆς ὁποίας ἡ περίμετρος ἔχει μίλια 120 ἔχει δὲ ϗ πόλιν ὁμώνυμον ϗ λαμπρὰν, ϗ πολίτας χρησίμες ϗ κοινωφελεςέρες πάντων τῶν Γραικῶν.

Χοιράδες, νῆσοι μικραὶ περὶ τὸ ἀκρωτήριον τῆς Ἰαπυγίας ἐν τῇ Ἰταλίᾳ.

Ἀρχὴ τῦ Ω΄.

Ὠρωπὸς, πόλις ἐν Βοιωτίᾳ παραθαλάσσιος ἐπὶ τῦ Εὐρύπυ περὶ τὰ μεθόρια τῆς Ἀττικῆς ἔχυσα ἀπέναντι τὴν ἐν τῇ Εὐβοίᾳ Χαλκίδα.

Ὠρεὸς, ἰδὲ Ὀρεός.

ΕΠΙΣΤΟΛΑΙ

ΤΟΥ

ΘΕΜΙΣΤΟΚΛΕΟΥΣ.

Τὰς ἐπιςολὰς ταύτας τῦ Θεμιςοκλέυς ἤδη τὸ ἔργον σύμπαν τετελεκὼς, κατάτινα τύχην εὑρὼν, τὰς κατ' αὐτὸν καὶ τὸν Παυσανίαν δυςυχίας, ὧν λόγος πολὺς τῷ Θεκυδίδῃ γίνεται ἐν τῇ πρώτῃ, περιεχέσας, τέτυ χάριν προσέθηκα· οἶδ' ἀλλ' ἓν ὅτι ἡμάρτηται ἡ γραφὴ πολλαχῇ· διὸ καὶ πρὸς ἑτέραν ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ ἔκδοσιν παραβαλὼν, εὐθὲν εὗρον βέλτιον, χείρω δὲ πλεῖςα· ἀπ' ἐμαυτῦτε εὐθὲν ἀποφοιβάζων ἐπιδιώρθωσα, εἰμήτι μικρὸν καὶ προφανὲς περὶ τὴν λέξιν ἁμάρτημα· ἐπιτέτμηνται δέ μοι μόνον αἱ προκείμεναι ὑποθέσεις πρὸς εὐμαρεςέραν οἱονεὶ πρόοδον τῦ νοὸς τῶν ἀναγινωσκόντων.

Τ' πόθεσις Α'.

Διηγεῖται ἐν τῇδε τῇ ἐπιςολῇ ὁ Θεμιςοκλῆς, ὅτι ἐξοςρακισθεὶς τῆς πατρίδος, ὡρμήθη ἐλθεῖν ἐς Δελφὰς, ὡς ἐκεῖσε τῷ λοιπῷ τὰς διατριβὰς ποιησόμενος, μέχρις ἂν αὐτῷ κάθοδον δῶσί ποτε μεταμεληθέντες οἱ Ἀθηναῖοι· τῶν δ' ἐξ Ἄργους φίλων ἐντυχόντων αὐτῷ καθ' ὁδὸν, καὶ ἰσχυρῶς ἐγκειμένων παρ' αὐτοῖς καταταλύσαι, ὡς καὶ πατρώας αὐτῷ ξενίας ὔσης ἐν Ἄργει, ἐπείθη· προσενεγκόντων δὲ τῶν Ἀργείων αὐτῷ ἀξιώματά, φησι, καὶ ὅλην πολιτείας ἀρχὴν, ἃν ἐδέξατο· περὶ δὲ τῆς φυγῆς καὶ τῶν πραχθέντων αὐτῷ διέξεισι Θουκυδίδης βιβλίον α'. καὶ Διόδωρος βιβλ. β'. καὶ Πλούταρχος ἐν Θεμιςοκλεῖ· ἀλλ' ἐκεῖνοι μὲν ἐν βραχεῖ, ὅτος δὲ περὶ ἑαυτοῦ γράφων πρὸς φίλους, εἰκότως καὶ φῶς τῇ ἱςορίᾳ πλεῖον παρέχεται, μορφάς τινας καὶ περιςάσεις προσθεὶς τοῦ πράγματος· ὁ δὲ ταῖς ἐπιςολαῖς ἐγκείμενος νοῦς τὸ ὀξὺ τοῦ νοὸς ἐμφαίνων τοῦ Θεμιςοκλέους, καὶ ἡ ἀρχαιότης τῶν ὀνομάτων, φυκωθέντος Ἀττικισμῷ ἀπηλλαγμένῃ ἐς τὸ παντελὲς, γνησίας αὐτὰς αὐτῷ μαρτυροῦσιν· Αἰσχύλος δ' ὅτος, πρὸς ὃν ἡ ἐπιςολὴ, εἴη ἄν, ὁ Τραγικὸς ποιητὴς, πρὸς ὃ τὸν ἀδελφὸν Ἀμεινίαν ἡ δεκάτη ἑβδόμη ἐςὶν ἐπιςολή.

Θεμιςοκλῆς Αἰσχύλῳ.

Ἀπερχόμενοι μὲν εἰς Δελφὰς καταίρειν διεγνώκειμεν, ὡς ἐν Δελφοῖς ἐφ' ὅσον δοκεῖ Ἀθηναίοις βιωσόμενοι· καθ' ὁδὸν δὲ τῶν ἐξ Ἄργους μοι ξένων ἐντυγχάνουσι Νικίας καὶ Μελέαγρος,

γρος, ὅτε καὶ πρὸ πολλοῦ Ἀθήνησι διατρίψας Εὐκράτης. Καὶ περισάντες ὡς ἤσθοντο πυνθανόμενοι τὸ ἐξοςρακισμῷ, ἠχθέσθησαν μὲν εὐθὺς, καὶ πολλὰ Ἀθηναίοις ἐνεκάλουν. Ἐπεὶ δὲ ἔγνωσαν, ὅτι εἰς Δελφὰς ὥρμημαι καταίρειν, παυσάμενοι τοῖς Ἀθηναίοις ἐγκαλεῖν, ἐμὲ ἐκάκιζον· καὶ ἠτιμῶσθαι μὲν ἑαυτοὺς ἔφασκον, εἰμὴ ἐπιτήδειοι ὑπελήφθησαν αὐτοὶ τὸ ἀτύχημα ἡμῶν ἐκδέξασθαι. Ἐμαρτύραντο δὲ Νεοκλέα τὸν ἡμέτερον πατέρα, ὡς ἐπὶ πλεῖσον βιώσειεν ἐν Ἄργει· ἐγὼ δὲ ἀμελῶ ἐμαυτοῦ ἀγαπήσαντος Ἄργός τε καὶ τοὺς ἐν Ἄργει φίλους· καὶ μακρὰν δὲ ἦσαν καὶ ἐπαινεῖν Ἀθηναίους, ὡς δίκαια τιμώντων ἡμῶν. Τελευτῶντες δὲ ἐδέοντο μὴ σφᾶς κατακρίνεσθαι τῆς ἀτυχίας μόνον τῆς ἡμετέρας αἰτίους γεγονέναι, μηδὲ ὑβρίσαι αὐτῶν τὸ εὐτύχημα τῆς ἀπαντήσεως, Νεοκλέα τε πάλιν προφέροντες, καὶ ὡς ἄξιον εἴη πολίτε τῇ αὐτῇ τῷ πατρὶ καὶ οἴκῳ ἐμβιῶναι· ὥσε ἀπῆγον ἡμᾶς ἔχοντες εἰς Ἄργος, Αἶχυλε. Καὶ νῦν ἐν Ἄργει τὴν ψυχὴν ἀνεπαύσαμεν· καὶ πολλὰ πάσχομεν, ὅτε ἄρχειν βουλόμενοι Ἀργείων· ἀναγκάζουσι γὰρ ὡς ἀδικούμενοι, ἢν μὴ ἄρχωμεν· ἡμῖν δὲ ἀρέσκει μήτε μεγάλοις εἶναι δοκεῖν· καὶ μόνον ὅτι ἔβλαψαν ἡμᾶς ταῦτα, ἀλλὰ καὶ ὅτι ἀρκεῖ αὐτῶν ἐν δέοντι ἀπολελαυκέναι.

Τ' πόθεσις Β'.

Ἐνῆν τις ἅμιλλα Ἀριςείδῃ καὶ Θεμιςοκλεῖ πρὸς ἀλλήλους ἔτι σμικρὰ μέχρι πολλοῦ κατιοῦσα, ἦν δ' ὃν Ἀριςείδης μετριωτέρῳ τῷ πάθει προσετηκὼς, καὶ οὐκ ἐς τέλος ἐμνησικάκει· διὸ καὶ τῶν Λακεδαιμονίων ἐς κοινὸν δικαςήριον ἀπολογηθῆναι ἀξιούντων Θεμιςοκλέα ὡς δῆθεν μηδίσαντα, ἠναντιώθη, καίπερ μὴ κατορθώσας· ἀνθ' ὧν ἐπιςείλας Θεμιςοκλῆς, χάριν ὁμολογεῖ αὐτῷ, ὡς τὸ δίκαιον καὶ συμφέρον τῆς πόλεως

πρᾶ-

πεποιημένῳ τῆς ἰδίας ἔχθρας ἐπίπροσθεν· ὅρα δὲ καὶ παρανατιὼν ἐν τῇ ἔκτῃ, καὶ Ἡρώδοτον περὶ τούτων.

Θεμιστοκλῆς Ἀριστείδῃ χαίρειν.

Τὴν μὲν ἔχθραν ἡμῶν τὸ ἀνόμοιον τῆς τύχης ἤδη λελύκει καὶ ἀσθένεια, ἣν ἐκθρεύει φυγάσι· σὺ δὲ τοῦτο καὶ ὑπερῆρας ὦ Ἀριστείδη, καὶ εὐεργεσίας κατήρξω παρ' ἐλπίδας εἰς ἀτυχοῦντας ἡμᾶς· καὶ οὐδὲ τοῦτ' ἡμῖν ἐνέλιπεν εἰς τὸ μηδὲν ὧν προσεδοκήσαμεν γεγονέναι. Καίτοι οὐδὲν ἀπόλωλε τῆς ἐπὶ τούτῳ χάριτος, καὶ εἰμὴ κατορθῶσαι ἴσχυσας· ἀλλὰ καὶ πλείονος ἀρετῆς ἔξομεν καὶ προθυμίας, εἴπερ δι' αὐτὴν ἐσώθημεν, ὅτι καὶ πρὸς ἅτως ἔχοντας Ἀθηναίους ἐμαχέσω. Περὶ δὲ τῆς φερούσης ἡμᾶς νῦν φυγῆς, ὡς ἀντὶ μειζόνων τῶν κακῶν κακήνγε καὶ αὐτὴν ἔσαν ἠρήμεθα, πῶς ἐχὶ καὶ σοὶ ταὐτὰ δόξειεν; αὖθις καὶ Πολύγνωτος ἐπέσειλεν ἡμῖν· αὐτὸς γὰρ κατὰ τάχος, ὡς ἀπὸ τιμωρίας ἐτοίμης φεύγειν παρεκελεύετο. Καὶ οὐκ ἐδόκει μοι (τοῦτο οὐκ ἂν γενομένου, εἰ μένοιμεν) ἁμαρτάνειν. Ἀθηναῖοι γὰρ ἦγον ἐπὶ τὸ κοινὸν δικαστήριον τῶν Ἑλλήνων, ὅπου πολὺ πλεῖόνγε τὸ Δωρικὸν τοῦ Ἰωνικοῦ, καὶ τὸ μὲν πλεῖον ἔμελλεν ἐναντίον γίνεσθαι, τὸ δὲ ἔλασσον ἀνωφελές. Καὶ αὐτοῦ δὲ τὸ φίλον τὸ ὑπηργμένον· ὥσε εἰκότως ἂν ἡμᾶς τὸ ἄλλο ἅπαν δέξαιτο ἀνθρώπων γένος, εἴτε βαρβάρων, εἴτε Ἑλλήνων τύχοι· παρ' οἷς δυνήσεται ἡμᾶς καὶ ταῦτα, ἐφ' οἷς διωκόμεθα, ὠφελεῖν.

Ὑπόθεσις Γ.

Ἐπίσειλας ταύτην τῷ Πολυγνώτῳ φίλῳ ὄντι αὐτοῦ, τὴν τῆς ἑαυτοῦ ψυχῆς ταραχὴν ἐκ τῶν τῆς φυγῆς κακῶν δηλοῖ καὶ

εἴτι

εἴτι, φησὶ, πόθεν ἐπέλθῃ πρὸς παραμυθίαν, καὶ τοῦτο ἀφαιρεῖ τῶν φιλτάτων ἡ σέρησις· καὶ τέλος κελεύει τὸν Πολύγνωτον πρὸς αὐτὸν ἐλθεῖν ἀνακυφιοῦντα τῶν πόνων, καὶ τῆς λύπης ἀφαιρησόμενον.

Θεμιστοκλῆς Πολυγνώτῳ χαίρειν.

Ἥκω σύγε, ὦ Πολύγνωτε, τὰς ναυμαχίας ἡμῶν καὶ τὰς στρατηγίας ἐννοούμενος, ἡγῇ καὶ τὴν ἐκ τῆς πατρίδος μετάστασιν ἡμᾶς γενναίως φέρειν· ἡμεῖς δὲ ἀπιόντες μὲν ὅτε καὶ ἐν ὄψει εἴχομεν τὰ καταλειπόμενα, θρασύτερον αὐτοῖς ἐπηγγελλόμεθα καρτερήσειν τὴν ἀπουσίαν, καὶ αὐτοὶ τὰς ναυμαχίας ἐννοούμενοι, καὶ ὅσα ἄλλα ὑπεμείναμεν ὅμοια, φόμεθα ὑπὸ γενναιότητος, καὶ ταῦτα διενεγκεῖν· καὶ οἶδας, ὅτι ἐκ ἄγαν ὀδυρόμενοι μεθισάμεθα. Νῦν δὲ ἡμῖν ὁ χρόνος, ὦ Πολύγνωτε, ἐ λήθην, ὧν ἀπελίπομεν, παρέχει, οὐδὲ συνήθειαν τῆς φυγῆς, ἀλλ' ἡ μὲν φυγὴ κέφη ἂν ἦν μὴ μακρὰ ἦσα, τὰ δὲ ἀπολειφθέντα ἔτι παθεινότερα ὑπὸ τοῦ χρόνου γίνεται· καὶ ἐπαραμυθία τίς ἐστιν, ὅτι πολλὰ καὶ ἄλλα γενναίως ὑπέμεινα ἐγὼ μαχόμενος τοῖς βαρβάροις καὶ κινδυνεύων. Ἀλλ' ὑπὸ τοῦ λογισμοῦ καὶ ταῦτα ἐναντία γίγνεται· δοκῶ γὰρ δὴ καρτερῆσαι καὶ ταῦτα, ὅπως μοι παρῇ ἀπολαύειν Ἀθηνῶν. Καὶ ὑπὸ τούτου μᾶλλον, ὦ Πολύγνωτε, ἐπιδιδόασιν αἱ φροντίδες, εἰ πολλοῖς μὲν ἄλλοις μηδὲ θεαταῖς γενομένοις τῶν περὶ Εὔβοιαν ἢ ἐν Σαλαμῖνι ναυμαχιῶν ἐνέσαι βιῶν ἐν Ἀθήναις, καὶ ἐκβαίνειν, ὡς βάλονται, καὶ καταλύειν, εἰδόξειεν· ἡμῖν δὲ τοῖς εἰκαὶ βραχὺ συλλαβομένοις φυλαχθῆναι ταύτην Ἀθηναίοις τὴν ἐξεσίαν, μόνοις ὅτε ταύτης, ὅτ' Ἀθηνῶν μέτεσιν. Ἀλλὰ καλέμεθα, ὃ τοῖς ἐχθίσαις ἥδιον καλεῖν, φυγάδες· αὐτοί τε ὅτι τοῦτ' ἐσμὲν, αἰσθανόμεθα, ἔρημοι δὲ οἴκων καὶ ἑσίας, ἐφ' ἧς τε

τὰ κατὰ Μήδων ἐπινίκια ἐθύσαμεν, πάροικοι ἀλλοτρίας γῆς τε
καὶ πόλεως· καὶ τάχα καὶ ἀποθανούμεθα, φυγάδες ἀκμὴν μένον-
τες· ἢ μάλα γὰρ ἄψυχοι ἐμαχόμεθα τοῖς πολεμίοις, εἰ
ταῦτά τις ἐλπὶς ἡμῖν πρόφαινεν· ἢ μὴ ἐδιώκομεν ἂν ταῦτα
φέρουσαν τὴν νίκην, εἰ μετὰ Μήδους παρὰ Λακεδαιμονίοις ἂν
περὶ τῆς Ἀθηναίων πόλεως, ἐκινδυνεύομεν. Ἀργεῖοι γὰρ
ἐπιδέχονται, καὶ Ἀργείοις τ' ἀγαθὰ εὔχεσθαι, καὶ ἄλλῃ τι-
νὶ πως καὶ πάσῃ πόλει, εἴπερ ἀπάσης ἡμῖν μέτεσιν ἔξω Ἀθη-
νῶν· ἀλλὰ χέτλιά γε καὶ ταῦτα ὑπὸ τῆς φυγῆς ἠναγκάσμεθα
εἰπεῖν, ὥσπερ ὑπὸ μανίας. Τί γὰρ Ἀθηναῖοι κακὸν, ὦ Πο-
λύγνωτε, τί δ' ἐκ ἀγαθὸν εἰργάσαντο; ἢ πῶς ἐψευσόμεθα,
καὶ ἔτοι οἱ λόγοι ἔργῳ ἐλθόντος ἀποδράσονται; ἐ γὰρ εἰ Μή-
δοι πάλιν τῆς Ἀττικῆς ἐπιχειροῖεν, κίνδυνος, ὅτι φυγὰς εἰμὶ
ἄδοξον εἶναι, οὐδὲ τῶν μὴ τοιαῦτα πεπονθότων τὸν ἀγῶνα
ἡγήσομαι· ἀλλ' εἰκαὶ μὴ ναύαρχος ἢ στρατηγὸς, ὦ Πολύγνωτε,
φυγάς γε μαχοῦμαι· ἐθ' ἱστάσασθαι παρὰ τοῦτο χεῖρον ἂν μοι
γένοιτο, ὅτε νηῒ χρήσασθαι· πολὺ δ' ἂν καὶ ἐπιδοίην νῦν
ὑπ' ἐμπειρίας ἄμεινον, ἢ τότε μαχητὴς γενέσθαι· καὶ φυγάδας
μὲν ἡμᾶς δύναιντο ἂν οἱ κάκιστοι Ἀθηναίων ποιεῖν, κακοὺς δὲ
οὐδέποτε· ἔδει δὲ ἄρα ἡμᾶς καὶ ἐν ταῖς καθ' ἡμῶν αὐτῶν κα-
λάσεσιν αἰσθέσθαι, ἧς Ἀθηναίοις ἐσώσαμεν ἐξουσίας· καὶ ταῦτα
μὲν ἐνθυμεῖσθαί τε πολλάκις ἡμῖν ἐστι, καὶ λόγων πληροῦσθαι
μυρίων, καὶ ἀντιμάχεσθαι δοκεῖ ταῖς φροντίσιν· ἡ δὲ παροῦσα
ἐρημία δεινὴ ἀντίκειται μεθέλκουσα, καὶ ἑαυτῆς ποιοῦσα τὸν νοῦν·
καὶ δὴ καὶ ἀπάγει ἡμᾶς τῶν ἰσχυροτέρων λογισμῶν. Καὶ οὐδὲ
Ἀργείων οἱ πλεῖστοι παρόντες ἡμῖν ἂν ἔροιντο, μὴ ἐρημίαν εἶναι
ταῦτα, ἀλλ' ἅμα τῷ πλήθει τῷ τέτων καὶ ἡ τῶν φίλων τε καὶ
οἰκείων ἀπουσία φαίνεται· ἀλλ' εἰμὲν ἔρρωται ἤδη σοι τὸ θυ-
γάτριον, ἣν πρότεινε τῆς κατοχῆς αἰτίαν, ἀφικνοῦ, πολλὰ
τῶν λυπούντων ἡμᾶς ἀφαιρησόμενος· εἰ δὲ εἴη τι κατέχον, ταῦ-
τα

τα μὲν λυθῆναι εὐχόμεθα, Μεγακλέα δὲ μᾶλλον ἔτι καὶ σὺ
παρὼν αὐτῷ, καὶ ἐγὼ γράφων ἀναπείσομεν ἐκτελέσαι ποτὲ
ἐλθόντα τὴν ἡμετέραν ἐλπίδα, καὶ παύσασθαι ὑπισχνούμενον.

Τ' πόθεσις Δ'.

Καλλίας ὅτος συγγενὴς ἦν Ἀριστείδου, καὶ πλούσιος ἐξ αἰ-
σχροκερδείας· κακῶς δ' εἰπὼν φαίνεται τὸν Θεμιστοκλέα ἤδη
φυγόντα· καὶ διὰ τοῦτο χαλαιπήνας ἐκεῖνος, ἀναξιοπαθῶν
ἔγκειται αὐτῷ, τήν τε ἀναξιότητα καὶ αἰσχροκέρδειαν αὐτῷ
ὀνειδίζων, καὶ τῆς γλώττης τὸ ἀχαλήνωτον· ἐ μὴν ἀλλὰ καὶ
προσαπειλεῖπως ἐν ταῖς μεταβολαῖς τῶν πραγμάτων.

Θεμιστοκλῆς Καλλίᾳ.

Μὴ ζήλου, ὦ Καλλία, Ἀριστείδην τοῦ φθόνου· οὐδὲ γὰρ ἐκεῖ-
νος πολλάσε ἔφη ζηλῶσαι τοῦ πλούτου, καίτοι μακρῷ ἄμεινον
ἦν· διὸ πάντες εὔχονται σφίσιν αὐτοῖς καὶ γενεαῖς σφετέραις
κἀκεῖνον ἀσπάζεσθαί σε, ἃ ἅπαντες ἐχθαίρουσιν, καὶ ἐπάρατα
ἡγοῦνται, ἐκεῖνα μιμεῖσθαι· μηδὲν οὖν ἔτι, μηδὲ σωφρόνιζε
Ἀθηναίους, ὅτι εἰκαίως χειροτονοῦσιν, καὶ ἐκ τῶν ἀναξίων αἱροῦν-
ται προσάτας εἰς ἐμὲ αἰνιττόμενος, ἀλλὰ πρῶτον ἐκεῖνο σκό-
πει· ἐπιπλήττεις αὐτοῖς νενικηκόταις προσάτας κεχειροτονηκό-
σιν. Ἔπειτα ὅσις ὢν αὐτὸς ταῦτα λήρεις, καὶ ὅτι οὐδὲ μετὰ
πολλοὺς ἄλλους Θεμιστοκλέας στρατηγὸς ὧδε ἀποδειχθῆναι δε-
δυνημένος· ἐ γὰρ τῶν τυμβωρυχησάντων τοὺς ἐν τοῖς λάκκοις
ἐν Μαραθῶνι κατασεσηπότας Περσῶν, ἀλλὰ τῶν ναυμα-
χησάντων καὶ ἀποκτεινάντων τοὺς ἐν Σαλαμῖνι καὶ ἐν Εὐβοίᾳ
παραταττομένους ἔδει στρατηγῶν καθόλου τῶν ἡγεμόνων τῇ πό-
λει· οὐδὲ πολλὰ μὲν χρήματα κεκτημένων, ὁπόθεν δὲ αὐτὰ

κέ-

κέκτηνται εἰπεῖν ὃ δυναμένων, ἀλλὰ μεγάλα καὶ καλὰ ἔργα διαπραξαμένων. Σὺ δὲ ἐν οἷς δυνατώτατος ἦθα αὐτὸς ἑαυτῷ καὶ τῶν ἄλλων ὐδὲν ὠνήσας τὴν πόλιν, ἐν οἷς ἀχρηςότατος εἶ πάντων Ἀθηναίων, αὐτὴν ἐν τέτοις περιεργάζεσθαι, καὶ πολυπραγμονεῖν ἐπιχειρεῖς. Καὶ κατὰ πλῆτον μὲν τοσῆτον ὄντα, οἷον ὐκ ὀλίγαι μυριάδες Περσῶν ἐπλήτυν, ὃς πάντας σὺ ἐκληρονόμησας, ὐκ οἶδ' ὅπως ἀφελόμενος τὲς μαχεσαμένυς αὐτοῖς, καὶ τὴν πόλιν σύμπασαν τὰ λάφυρα, ἤτε μικρὸν, ἤτε μέγα ὐδὲν ὤνησας ὐδέποτε τὴν πατρίδα. Λόγοις δὲ ἄρα, ἐν οἷς σὺ ἀδυνατώτατος, σωφρονίζειν αὐτὴν ἐπιχειρεῖς, καὶ πολεμικῶν ἔργων, ἐν οἷς ἀχρηςότατος εἶ καὶ ἀνανδρότατος, ἐπιτιμᾷς Ἀθηναίοις, ἕτω καὶ μὴ ἕτω διαγνῶσιν. Ἀλλ' ὧδ' ἔχει, ὦ Καλλία, τὲς λέοντας ζωὲς μὲν ὄντας, ἤτε οἱ ταῦροι ὑπομένυσιν ἤτε ἄλλοτι τῶν παμμεγάλων καὶ ἀλκίμων θηρίων· πεσόντων δὲ αὐτῶν καὶ κειμένων ὐδὲν θαυμαςὸν, εἰ καὶ μύες ἐπ' αὐτὲς ἀναβαίνυσιν. Ὥςε καὶ σὺ νῦν μὲν ἐφάλλῃ ἡμῶν, ἢ βέλῃ, καὶ ἐμπηδᾷς, ὅτι πᾶσιν ἐσμὲν περίπατος· ὐδὲν μέντοι τῶν ἀδοκήτων εἰ καὶ ἡμῖν ποτε ἔτι γ' ἂν ἐμπνέυσιν, καὶ τὴν ψυχὴν ἔχυσιν, δώσει θεὸς ὑπομνῆσαι ταύτης τῆς δημηγορίας· δώσει δὲ ἕν οἶδα· ὐκ ἀρετᾷ κακὰ ἔργα, φασὶν οἱ ποιηταί.

Ὑπόθεσις Ε΄.

Κομισάμενος γράμματα Αὐτολύκυ ὁ Θεμιςοκλῆς, ἐν οἷς μεταμεληθέντας τὲς Ἀθηναίυς, κάθοδον δῦναι αὐτῷ ἐκεῖνος ἔλεγε βέλεσθαι, ἃ πιςεύει τοῖς λεγομένοις, μέχρις ἂν αὐτοῖς εὖ προχωρῇ, ἐξ ὧν αὐτὸς ὁδῶν τῇ πόλει εἰς εὐτυχίαν ὑπανεψγει· δι' ὧν, ἐκείνη φησὶν, ὐκέτι χρήζει τῦ ἄγοντος· ὅθεν μὴ παρηγορεῖν τῦ λοιπῦ, ἀλλὰ τάληθὲς ἐπιςέλλειν ἀξιοῖ παρ' ἐκείνυ περὶ τῶν Ἀθηναίων.

Θε-

Θεμιςοκλῆς Αὐτολύκῳ χαίρειν.

Ἦσσον, ὦ Αὐτόλυκε, παρηγορεῖν ἄνσε βυλοίμην ἡμᾶς ἢ τάληθῆ λέγειν· σὺ δὲ ἐπιςέλλων σφόδρα ἤδη μεταμέλειν Ἀθηναίοις τῆς ἡμετέρας φυγῆς, παρηγορεῖν ἔμοιγε δοκεῖς μᾶλλον, ἢ τάληθῆ λέγειν. Οἵτε γὰρ τὸ πλῆθος δι' ἡμᾶς διαβάλλοντες ἐπιχύσιν, καὶ καιρὸς ὐδεὶς καταλαμβάνει, ἐν ᾧ ἀχρεῖοι ἂν ἐν τῇ πόλει οἱ κακοὶ εἶεν, καὶ ἅμα αἴσθησιν παρέχοντες, ὅτι κατειργάσαντο τὲς ἀμείνυς ἐκπεσεῖν· ἀλλὰ νῦν τῇ κοινῇ εὐπραγίᾳ ἐπικαμπτόμενοι ἀφανέσερον ἔχυσι τὸ ἀχρεῖον. Καὶ μὴν ἐμὰ τὰ ἀποκρύπτοντα αὐτὲς, ἐφ' ᾧτε καὶ ἡ πόλις εὐπραγεῖν· ἦ γὰρ ἂν ἡμᾶς ἐπιεικῶς τὰ ἐν Ἀθήναις ἀγαθὰ καὶ δι' ἀκοῆς εὐφραίνοι, καὶ εἰ δοκῇ μὴ ὑπὲρ ἡμῶν εἶναι ἐπιδεδωκέναι αὐτὰ ἐξ ὅτε ἐφύγομεν· ἴσως γὰρ ἤδη καὶ ταῦτα ταῖς ἡμετέραις ἕπεται ἀρχαῖς, καὶ ἓν καταςαθέντα ἓν προχωρεῖ. Καὶ ἡμεῖς ἴσως ἂν ἑαυτὲς δικαίως αἰτιοίμεθα, ἀνοίξαντας ὁδὸν τοῖς πράγμασιν εὑρεῖαν, δι' ἧς ἂν ὐκ ἔτι χρήζοι τῦ ἄγοντος· σὺ δὲ ὦ Αὐτόλυκε μὴ ὡς αὐτὸς ἐθέλεις μεταμέλεσθαι Ἀθηναίυς, ἀλλ' ὡς αὐτοὶ ἔχυσιν, ἐπίςελλε ἡμῖν· ἔχυσι γὰρ, οἶμαι, καθὰ ἂν αὐτὲς τρέπωσιν οἱ παράντες, οἳ φανερώτεροι ἂν ἦσαν τῆς κακίας μὴ φυγόντων ἡμῶν.

Ὑπόθεσις ς΄.

Ἀποκαλυφθείσης τῆς Προδοσίας τῦ Παυσανίυ, ςελλαντες πρέσβεις ἐς Ἀθηναίυς οἱ Σπαρτιᾶται, ἔπεισαν αὐτὲς ταὐτὰ τῷ Παυσανίᾳ ποιεῖν καὶ Θεμιςοκλέα, ὡς δῆθεν συμμηδίσαντα καὶ αὐτόν· πειθέντες ἓν ἐκεῖνοι ἐκ τῦ παραχρῆμα κατεψηφίσαντο αὐτῦ καὶ ἐξωςρακισμένυ· τῦτο δὴ τὸ ψήφισμα

σμα Πολύγνωτος μηνύει τῷ Θεμιστοκλεῖ, ἐφ' ᾧ ἐνεῖνος καίτοι βαρέως ἀκούσας, ἡδέως αὐτῷ χάριν ὁμολογεῖ.

Θεμιστοκλῆς Πολυγνώτῳ.

Φεύγομεν, ὥσπερ ἐγκελεύῃ κατὰ τάχος, ὦ Πολύγνωτε, καὶ ἐξελθόντες ἐξ Ἄργους ἐν θαλάσσῃ ἐσμέν· ὅ, τε πλοῦς ἐπὶ Κέρκυραν ἡμῖν τέτακται, καὶ ναυλῷ ἔχοντες τὰ πλοῖα κατεχόμεθα. Τὸν μὲν οὖν ἄγγελον τῆς σπουδῆς καὶ σὺ ἐπαινέσεις· ἀφεθεὶς γὰρ ἡ τὴν ἐκκλησίαν ἔλυσαν Ἀθηναῖοι ὑπόρρω τῆς ἑσπέρας, ὥς φασιν, ὥστε, μετὰ τὴν νύκτα ἐκείνην, ἡμέρας ἦν ἐν Ἄργει μηδὲ μεσημβρίας ἤδη ἐφισαμένης· δέος δέ ἐστι, μὴ ἀνωφελῆ ἡμῶν τὴν σπουδὴν ἐπιμένων ὁ χειμὼν ποιήσῃ, ἢ καὶ βραδύτεροι τῶν ἀγγέλων οἱ φεύγοντες γενώμεθα· ἢν δὲ καὶ Λακεδαιμόνιοι τῆς φυγῆς αἴσθωνται, διώξει χρώμενοι, αὐτίκα αὐτοῖς ἀγαθὸς ἔσαι ὁ Παυσανίας, ταὐτὰ καὶ ἡμᾶς ἐργασάμενοι. Σοὶ μὲν οὖν ὦ Πολύγνωτε σωζόμεθα, καὶ οὐδὲν ἡμᾶς οὔτε χειμὼν, οὔτε Λακεδαιμόνιοι σοῦ γε χάριν εἰδέναι κωλύουσιν· ἀλλάσε ἀγάμεθα, καὶ τοῦ ἀγγεῖλαι σπουδῇ τοσαύτῃ τὰ ἐκ Λακεδαιμονίων πραχθέντα, καὶ τὴν Ἀριστείδου σπουδὴν, ἣν μόνος περὶ ἡμῶν καίπερ ἐχθρὸς ὢν ἐπεδείξατο· καὶ τοῦ διαγορεῦσαι, μὴ φεύγοντας ἡμᾶς ὑπ' ἐχθροῦ καταληφθήσεσθαι, καὶ διεγνωσμένου ἤδη θανάτου. Θεὸς δ' ἂν εἴη τὸ ἐκ τοῦδε αἴτιος, εἶσαι ἆρα τούτων καὶ τὰς ἀμοιβὰς, ὦ Πολύγνωτε, ἀποτίσομεν.

Ὑπόθεσις Ζ.

Μέμφεται ἐνταῦθα τοῖς φίλοις, οἵτινες ὑποχόμενοι πρότερον ῥαδίως κάθοδον αὐτῷ διαπράξεσθαι πρὸς τὴν πόλιν, καταγωνισάμενοι τὸν ἐχθρὸν Ἀριστείδην, ἠμέλησαν· καὶ φη-

σὶν, ὅτι τὸ πρᾶγμα ἀπ' ἐναντίας ἀντέσραπται, τοῦ μὲν Ἀριστείδου φιλίαν ἐνδεικνυμένου, τῶν δὲ φίλων ὡς ἐχθρῶν φερομένων.

Θεμιστοκλῆς Ἀνταγόρᾳ χαίρειν.

Ἐπηγγέλμεθά μοι πολλάκις, ὦ Ἀνταγόρα, σὺ καὶ Αὐτόλυκος ῥαδίως ἡμᾶς τοῦ ἐξοστρακισμοῦ ἀπολύσειν, μαχεῖσθαι δὲ τῷ ἐχθρῷ ἡμῶν Ἀριστείδῃ ἐλέγετε, καὶ πρὸς τὰ ἐναντία τὸ πλῆθος ἢ ἐκεῖνος ἄγειν· καὶ ἤδη αὐτὸν ἔλασσον φέρεσθαι, μὴ ἐθέλοντα ἀνεῖναι τῆς ἔχθρας. Ἀριστείδης ἡμῖν Ἀνταγόρας γέγονεν, καὶ Ἀριστείδης Αὐτόλυκος· καὶ οὐδενὸς ἂν κακῶν μετέχομεν, ὧν μέλλομεν τε, καὶ ἤδη μετέχομεν, εἴπερ ἡμῖν τοσοῦτοι τρεῖς ἢ τέσσαρες θέλετε ἐν Ἀθήναις φίλοι, ὁποῖος Ἀριστείδης ἐχθρὸς εἶναι· μᾶλλον δὲ εἰ καὶ ἐπείσθητε ἡμῶν τῷ ἐχθρῷ. Νῦν δὲ διὰ τίνας μᾶλλον, ὦ Ἀνταγόρα, φεύγομεν; δι' ὑμᾶς· οὐ γὰρ τοὺς ἐχθρούς γε ἀλλοτίη κατερχόμεθα ἀγγεῖλαι, ἀλλὰ νικήσατε ὦ φίλοι, καὶ φεύγωμεν οὐδέν᾽ οὐδαμοῦ αἰτιασάμενοι, καὶ εἰ τὰ οἴκτιστα πεισόμεθα.

Ὑπόθεσις Η.

Χρήματα Θεμιστοκλέους τεσσαράκοντα τάλαντα ἦσαν πεφυλαγμένα Φιλοσεφάνῳ τινὶ τραπεζίτῃ, ὡς ἔοικεν, ὄντι. Μείδων δὲ ἑταῖρος Θεμιστοκλέους ὀλίγα τινὰ ἐκείνων ἣν ἀπαιτήσας παρ' αὐτοῦ εἰς χρείαν Θεμιστοκλέους οἰκιακήν· πρὸς ὃ ἀποκρίνασθαι τὸν Φιλοσέφανον ἤκουσε Θεμιστοκλῆς, ὡς χρήματα μὲν οὐκ ὀφείλει Θεμιστοκλεῖ, χάριν δὲ ὡς φίλῳ καὶ μάλα προσφέρει· ἐκ τούτων οὖν ἀγανακτήσας ὁ Θεμιστοκλῆς ὁ δύρεται πρὸς αὐτὸν, ἐχαρίσιαν αὐτῷ προφέρων τῶν φθα-

σαν.

σάντων εὐεργετημάτων, καὶ ἅμα ἀπαντήσεως τυχεῖν ἀξιῶν, δηλώσης, ἀφ' ὅτου ἔτως ἀπεκρίνατο πρὸς Μεῖδωνα.

Θεμιστοκλῆς Φιλοσεφάνῳ χαίρειν.

Ἀνιῶμαι μέν, ὦ Φιλοσέφανε, τῆς σῆς ἀχαριστίας καὶ καθόλου ἀδικίας εἰς ἐμαυτόν, ἄχθομαι γεμὴν οὐκ ἐπὶ μείονι, ἀλλὰ τῷ παντὶ πλείονι τῆς ἐμαυτοῦ νωθείας, καὶ ὅτι κινδυνεύω βλάξ τις ἠλιθίως βεβιωκέναι πάντα τοῦτον τὸν βίον, καὶ ὑπὲρ ἑνὸς ἀνδρὸς ἐν τῇ τριόδῳ καθεζομένου τῆς Ἑλλάδος γυμνοῦ, τὰ ἤθη διὰ τὴν τῆς ἐργασίας περιφάνειαν, ἀληθέστι ἢ προσῆκον ἐρῥωμένος εἰκάσαι καὶ ὑπολαβεῖν. Καίτοι ἡγοῦμαί μέν σε καὶ δι' ἐμαυτὸν εὐδαιμονέστερον καὶ λαμπρότερον γεγονέναι ἢ μόνον τῶν ἐν Κορίνθῳ, ἀλλὰ καὶ τῶν ἄλλοθί πῃ τῇ τοῦ τραπεζιτεύειν ἐργασίᾳ χρωμένων· ἤδη δὲ καὶ πρὶν ἐμέ σοι συμβαλεῖν, εἰ καὶ μὴ πλέσιος ἔτως, ἀλλὰ πιστὸς εὖ μάλα· καὶ πιστότερός γε ἢ νῦν εἶναι κινδυνεύεις, ὅτεπερ καὶ δι' ἡμᾶς γέγονας πλέσιος· ὥσε οὐδ' ἐμή γε ἡ ἁμαρτία ἀνεξετάσῳ καὶ ἀθεωρήτῳ τὸν τρόπον ἀνδρὶ πιστεῦσαι, ἐμὸν δὲ ἴσως, τὸν δυσνχῆ αὐτὸν μηδὲ, ὑφ' ὧν οὐδὲ ἀγαθὸν κέπονθε, πιστὸν, εἰς τὰ πρὸς ἐμὲ μόνον, ὑφ' ὅ τὰ τηλικαῦτα ὤνηται, ἄδικον γεγονέναι· ὅθεν δέμοι ταῦτα πιστὰ ἦν, ἥκων εἰς Ἔφεσον Ἀθήνηθεν ὁ Τίβιος ἔφραζέ μοι πεμφθῆναι ὑπὸ τῶν ἀμφὶ Μειδωνα, δεῆσαν αὐτοῖς ἐκ τῶν ἐμῶν τι πραγμάτων, ἑβδομήκοντα μνῶν ἀργυρίε, ταῦτα ἀποληψόμενος παρὰ σοῦ, βραχυτάτην μοῖραν ἐκ τετταράκοντα ὅλων ταλάντων. Τοσαῦτα γὰρ ὁ τελευταῖος λογισμὸς, ὃν ἐλογισάμεθα μετ' ἀλλήλων ἐν Ἰωμίοις, ἀπέφαινεν ἔτι παρὰ σοὶ περιεῖναι τῶν ἐμῶν· ἀναγνόντα τε τὰς ἐπιστολὰς πυθόμενόν τε τὴν χρείαν, ἔπειτα ἀποφήναθαι τῇ μὲν ἥκια καὶ ἐπιεικῆ, τῇ δ' αὖ ἀγνώμονα τε καὶ μοχθηρὰ, ἐῶ γὰρ εἰπεῖν ἀνόσια. Τὸ μὲν

μὲν γὰρ φάναι φιλότητός τε τῆς πρὸς ἡμᾶς ἕνεκα, καὶ χρειῶν ὅσας ἐτυγχάνομεν ἀλλήλοις κεχρημένοι, προῖκα βέλεσθαι προέσθαι τἀργύριον, ἢ δάνεισμα δανείζοντα χρείας ὑπάρχειν εἰς ἐμὲ, τοῦτο μὲν ἀσεβές τε ἐποίεις καὶ τῆς εὐνοίας τῆς πρὸς ἡμᾶς ἄξιον· ὁπότε μέντοι, ὡς φησιν ὁ Τίβιος, ἔξαρνος ἦσθα, καὶ διέκεισο πικρῶς μηδοτιοῦν ὀφείλειν ἐμοὶ, τοῦτο δὲ πολὺ μεῖζον ἔπραττες κακὸν, ἢ θάτερον ἀγαθόν· ἡ μὲν γὰρ χρησότης σε ἑβδομήκοντα μνῶν ἐστιν ἀξία, ἡ δὲ πονηρία τεσσαράκοντα ταλάντων· εἰ μὲν οὖν, γένοιτο γὰρ ἄν, κἀγὼ καὶ νῦν ἔτι καίπερ ἔτως ὑπὲρ σοῦ παρ' ἐλπίδας κλαπεὶς, ὅμως ὅπως ταχέως ἔτως ἀφίσαμαι χρησὸν καὶ δίκαιον περί σε ὑπολαμβάνειν, περὶ τοῦ πιστοῦ ἄπιστος ἦσθα, καὶ περὶ τοῦ δικαίου ἄδικος, οὐκ εἰς τὸ σαυτοῦ κέρδος θρασυνόμενος καὶ ἀναισχυντῶν, εἰς δὲ τιμὴν ὡς ἐδόκεις ὄφελος ἐξαρνούμενος, αὐτόστε ἂν εἶης ὁ κακὸς, κἀμὲ ἀποφήνειας ὁ μωρὸν, ὅτι ἔτως ὑπὲρ σοῦ διετέθην· εἰ δ' ἀληθῶς οἰόμεθα, καὶ τυπίσοι εἶναι καὶ πανταχῇ πάντα Ἀθηναίων γέμει, ἔτε τοὺς θεοὺς ἀσεβῶν λήσεις, ὦ Φιλοσέφανε, ἔτε ἐμὲ ἀδικῶν καταπροίξῃ· οὐδ' εἰ κἀμοῦ καταφρονήσῃς, καὶ τῶν θεῶν ἀμελῆς, ἀλλὰ τελευτῶν Ἀθηναίους γε οὐκ ἐκφεύξῃ. Ἐπεὶ κἀγὼ τῷ παντὶ μᾶλλον ἄσμενος ὑπὸ τῆς πατρίδος ἂν τῆς ἐμαυτοῦ καὶ ταῦτα ἀφαιρεθείην, ὥσπερ καὶ τἆλλα πάντα, ἢ ὑπὸ Φιλοσεφάνου τοῦ Κορινθίου χρυσαμοιβοῦ τοσούτων χρημάτων ἀποσερηθείην. Τοιγάρτοι ἤδημοι γράφε καὶ ἀντεπίσελλε, ὅσις εἶ πρὸς ἐμὲ, καὶ ὅπῃσοι διέγνωσαι τἆλλα πρός σε· ἵνα, εἰ εἶ ἐκεῖνος εὔθυμος φίλος, καὶ διαμένεις ὡς ἦσθα, ὅπως μοι σωθήσεται εἰς ἐπανόρθωσιν τῆς ἐμῆς δυσνχίας ταμὰ χρήματα βελεύωμαι· εἰ δὲ μὴ, ὅπου ἐπαρὰ τὴν ἐμὴν γνώμην ἀπολεῖται.

Τ' πό-

Υπόθεσις Θ'.

Υποχόμενος ὁ Θεμιστοκλῆς τῷ Ἀβρονύχῳ γράψειν τὰ αὐτῷ ξυμβησόμενα, ἐκπληροῖ τὴν ὑπόσχεσιν ἤδη, ἐπισέλλων περὶ τῆς εἰς Βασιλέα ἀναβάσεως· ἣν ἐκεῖνος καὶ προμαθὼν παρ' Εὐξιθέου, ὅτ' ἐπήνει, ὅτε μὴν ἀπηρέσκετο, πρὸς ἑκάτερα ἀμφιῤῥέπων ἀπὸ τῆς ἴσης ἀπορίας.

Θεμιστοκλῆς Ἀβρονύχῳ.

Τεθάῤῥηταί μοι τὰ μεγάλα καὶ δεινὰ ἐκεῖνα, ὦ Ἀβρόνυχε, ἃ καίτοι παρ' ἡμῶν Εὐξίθεος ἀπὸ γλώττης διαλεξάμενος, δεδήλωκεν, ὥς μοι διέγνωσαι. Σὺ δὲ ἐσιώπας, ὡς ἔφασκεν ἐκεῖνος, εἰς τὴν γῆν κύπτων, ἐπαινεῖν μὲν οὐκ ἔχων, ὡς ἐμὲ εἰκάσαι, κωλύειν δὲ οὐκ ἐθέλων· καὶ καλῶς ποιεῖς· οὐ γὰρ ἂν ἐκώλησας· βλασφημεῖν δὲ οὐχ ἥρμοττεν· ἀλλ' εἶμί γε, εἶμι· καὶ ἐπὶ τῆς ἀπήνης ἤδη καθεζόμενος ταῦτὶ γέγραφα, εὖ πρᾶττε, περὶ ἡμῶν εὐθύμει.

Υπόθεσις Ι'.

Ἀπεκρύπτετο ὁ Φιλοξένους, ὅτι οἱ τάληθῆ αὐτῷ εἶπε Τίβιος, ἃ ἤκουσε παρ' αὐτοῦ· ὡμολόγει δὲ ἤδη, ὅτι ἔχει ταργύριον, ἕτοιμος ὢν μάλιστα ἀποδοῦναι, ᾧ ἂν Θεμιστοκλῆς κελεύῃ· καὶ γὰρ ἀεὶ πιστὸς διατελεῖν πᾶσι φησὶ, μάλιστα δὲ Θεμιστοκλεῖ· ἡδέως δ' ἂν ἀκούσας ταῦτα Θεμιστοκλῆς, μέμφεται Τίβιον αἴτιον ὀργῆς αὐτῷ γενόμενον ἐκ τοῦ ψεύδεσθαι.

Θεμιστοκλῆς Φιλοξένῳ.

Ἠκέ μοι τὰς ἐπιστολὰς παρὰ σοῦ κομίζων εἰς Ἔφεσον ὡς Ἀθηναῖοι λογίζονται, Βοηδρομιῶνος ἔνη καὶ νέᾳ, ὡς δὲ ὑμεῖς

ὑμεῖς, Πανέμου δεκάτῃ, ἡ δὲ ἡμέρα ἡ αὐτή, Μένυλλος ὁ Χαλκιδεὺς κυβερνήτης, ὃ καὶ τὴν παρὰ Γέλωνός ποτε τοῦ Συρακουσίου τὴν μεγάλην ἐκείνην ὁλκάδα τοῦ σίτου καταγαγὼν εἰς Πειραιᾶ. Καὶ αὐτός τε ἀπὸ γλώσσης ἠνίξατο πρός με εἰδότα οὐκ εἰδὼς αὐτὰ ὡς αἰνίττεται· ἐγὼ δὲ ἐγνώριζον τὰς πρός με σοὶ ξυντεθέντας συμβόλους. Καὶ μέντοι γε καὶ τὸ ἔγγραπτον ἀπέδιδε· ἔνθα δυσφοροῦντι μὲν καὶ μεγάλως ἀχθόμενοι ἐώκεις, οὐκ ἀξιῶν ὅλως μὲν οὐδ' εἰς ἄλλον ἄνθρωπον οὐδένα πρὸ ἡμῶν ὑποτιμηθῆναι ἄπιστος ἂν καὶ ἀπεχθὴς γενέσθαι, τῷ παντὶ μέντοι μᾶλλον ἢ εἰς ἐμέ· ἔπειτα δὲ καὶ περὶ τῶν ἐμῶν χρημάτων ἀπηγόρευες, ἔχειν τε οὐκ ἐξαρνούμενος, καὶ ὁπηνίκα ἂν, καὶ οἷς τισιν ἂν προσάττοιμεν ἀποδώσειν ὑπισχνούμενος· τάτε περὶ τοῦ Μείδωνος καὶ τοῦ Παμφίλου διεδήλους, ὅτι ἠγνόουν ἃ χρή· περὶ δὲ Τιβίου, ὅτι ἠγνωμόνει ἀπίτριπτος· ἐγὼ δὲ αἰδοῦμαι μέν, ὦ Φιλοξένους, ὁμολογεῖν, ὅτι λίαν ἥδομαι τοιαῦτα σοῦ φρονοῦντος μὴ τοῖς τετταράκοντα μᾶλλον ταλάντοις, ἢ τῷ μὴ διεσφάλθαι τῶν ὑπὲρ σοῦ ἐλπίδων· εὖ μέντοι ἴσθι ὡς ἅπαξ τὰ τετταράκοντα ταῦτα τάλαντα ἀποδώσειν ἡμῖν ἔμελλες, οὐδὲ γὰρ εἰλήφεις πω αὐτὰ, καὶ τοῦ λαβεῖν οὐ ταῦτα μόνον, ἀλλὰ καὶ πρὸς τούτοις ἄλλα τριάκοντα ἄξιος ἡμῖν ἐδόκεις εἶναι. Ἑβδομήκοντα γὰρ τὰ πλείω τῶν ἡμετέρων παρὰ σοὶ ἐγένετο· οἱ δὲ πολὺ πλειόνων ἢ τούτων σε προτιμῶντες οὐκ ἄν πω δεόντως, ἢ τούτων σε τῶν ἐλαττόνων φαίημεν προτιμᾶν ἀπισούμεθα· ἀλλὰ καὶ περὶ μὲν τοῦ διαγανακτεῖν ἐμαυτὸν ἑτοιμότερον καὶ προχειρότερον, ἀπιστῆσαι δὲ ὡς ὑπὲρ ἀνδρὸς φίλου, καὶ μὴ τυχέως ἔτως ἐπιδραμεῖν σοι, εἴ τις διαβολὴ ἐκεῖνο λέξας, τ' ἀληθέστατον ἂν εἴποιμι, ὦ Φιλοξένους. Διότι θορυβεῖσθαι μὲν ἡμᾶς ἐποίησεν ἐν τοῖς ὑπὲρ σοῦ ὁ μαγίγλας Τίβιος· πιστεῦσαι δὲ ἐκείνῳ, ἡ ἐμὴ τύχη· ὑπὲρ μὲν τούτων τοιαῦτα. Τὸ δὲ ἀργύριον νῦν μὲν ἔχουσι παρὰ σοὶ, ἐπειδὰν δὲ ὑπὲρ τῶν καθόλου

διαφερόντων εἰς ἐμαυτὸν διαγνῶ, ϗ βελεύσωμαι βεβαιότερον, ἐπιξελῶσοι τηνικαῦτα.

Ὑπόθεσις ΙΑ΄.

Δηλῶν τῷ Παυσανίᾳ τὴν ἑαυτῦ φυγὴν, ὄντι ἐν δυνάμει ἔτι ϗ δόξῃ, συμβελεύει αὐτῷ μεμνῆσθαι τῆς τύχης, ὡς Παίζει τὰ παίγνια, μήτι ποτὲ ϗ αὐτὸς ἀλάξορος πειραθείη· ὃ ϗ γένοιμεν ὕξερον· ὡς ϗ ἐν ἑτέρᾳ ἐπιξολῇ πρός τε αὐτὸν καὶ Ἀλκίανφαίνεται· ἐξ ὧν ϗ μόνον προδοσίαν ϗδεμίαν εἰκάσαι ἔχοιτις ἂν αὐτῦ μετὰ τῦ Παυσανίυ, ἀλλὰ ϗ ἀθωότης αὐτῷ ϗ σμικρὰ ὑπεμφαίνεται, παραινῦντι κἀκείνῳ τῆς πονηρίας ἀπέχεσθαι, ϗ τέλος δικαιοῦντι τὴν τιμωρίαν.

Θεμιξοκλῆς Παυσανίᾳ.

Ἐξωξρακίσμεθα, ὦ Παυσανία, ὑπ' Ἀθηναίων, ϗ νῦν ἐν Ἄργει ἐσμὲν, ὡς μή τι κακὸν ὑφ' ἡμῶν Ἀθηναῖοι πάθοιεν· ἔδοξαν γὰρ ὅτι πείσονται· ϗ ϗδὲν ἔτι μέλλων ἐγὼ, ὥσπερ ϗδὲ ἐξῆν ἔτι μέλλειν, μετέσην ἐξ Ἀθηνῶν, ϗ ἀπέλυσα αὐτοὺς τῦ φόβυ. Ἄργειοι δὲ πλεῖον ἢ κατὰ φυγάδας προσάγονται ἡμῖν· ϗ ὧν Ἀθηναῖοι εὖ ἔπαθον, ἕτοι ἀμείβεσθαι θέλυσιν· ὥσε ϗ ξρατηγίας ἀξιοῦσιν ἡμᾶς ἀναλαμβάνειν, ϗ ἐπιξάτας ὅλυ Ἄργυς γενέσθαι· ϗ ϗ μικρὰ ἀδικοῦσιν ἐκ εἰῶντες ἡμᾶς εἶναι φυγάδας, ὡς ἠθέλησαν Ἀθηναῖοι. Ἐγὼ δὲ ϗ ἀτιμάζειν αὐτῶν τὴν προθυμίαν αἰδοῦμαι, ϗ ἔτι μᾶλλον λαβεῖν ἃ διδόασιν ἐχ ὑπομένω· ἢ γὰρ ἂν τὰ τοιαῦτα ἐγὼ διώκων, εἰκότως ἂν ϗ ἐξωξρακίσθαι δοκοίην· καταγνώσεώς τε ἐγγὺς εἶναι, μεταξαθέντα μὲ ὑπὸ Ἀθηναίων ὡς ἄρχειν ὀρεγόμενον, ἐξ Ἄρ-

γυς φεύγειν, ὅτι ἄρχειν ἀναγκάζομαι. Ἀλλ' ἐμοὶ μὲν ὦ Παυσανία κυφότατον, εἰ κρείσσω παραιτήσεως τὴν σπυδὴν ποιεῖ τὸ μεταβάντι εἰς ἄλλην πόλιν διάγειν· ὡς ὅπη ἂν φύγωμι, πάντη μοι φυλάσσεται ἶσον τὸ μὴ ἐν Ἀθήναις εἶναι· σοὶ δὲ ἐκ οἶδα ἐπὶ μέγα προχωρῆντι, μὴ νῦν μάλισα συνάχθεσθαί δέῃ, ϗ δεδιέναι περὶ σῦ· τῦτε γὰρ Ἑλλησπόντυ σὲ ἅπαντος ἄχρι Βοσπόρυ χεδὸν ἄρχειν ἀκύω, πειρᾶσθαι δέ σε ϗ τῦ Ἰωνικῦ, ϗ πολὺ ἤδη ϗ παρὰ Βασιλεῖ τὸ σὸν ἀκύεσθαι ὄνομα· ὥσε οἱ τὰ βέλτισα εὐχόμενοι περὶ σῦ, πολύ σε βελοίμεθα ἂν τῶν νῦν ἐλάσσονα εἶναι· ϗ σὺ δὲ ὦ Παυσανία, ἄνες τῆς εὐτυχίας· ϗ μὴ ἀγνόει, ὅτι ἀτεχνῶς, ὦ Παυσανία, τοῖς ἀνθρώποις τὰ ἀτυχήματα τρέφυσιν αἱ εὐπραγίαι· ϗ τῦτο ἐν πᾶσι μὲν ἀεὶ νενίκηκε ταύτη ἔχειν, μάλισα δὲ τοῖς ὑπὸ νόμυς τε ϗ δήμυς κειμένοις. Δῆλοι γὰρ τῦ πλήθυς ὄντες, ὦ Παυσανία, ἀρχὴν λαμβάνομεν· ἄρχοντες δὲ τοῖς δῆσιν ἐπίφθονοι γενόμεθα· ἔπειτα ἐκ ἐπὶ τὴν αὐτὴν ἡμᾶς ἀπολύσι χώραν, ἐν ᾗ ϗ πρὶν ἄρχειν ἦμεν· ἀλλὰ δοκιμάζοντες ἄρα τὴν ἑαυτῶν ἐξυσίαν, ϗ συλλαμβανόμενοι τῷ σάλῳ τῆς τύχης, εἰς φυγὰς ἐθανάτυς καταλύσι τὺς ἄρχοντας. Καὶ δεῖ ἄρα ἐν πόλει τὺς εὖ πράττειν θέλοντας τῦτυ αὐτῦ φείδεσθαι μάλισα· σκόπει ἂν ὦ Παυσανία, ὅπως ἥκισα ἐκ τῶν παρόντων μεγάλησε δέξηται μεταβολή· ἡμεῖς μὲν γὰρ ὧδε ἔχοντες ἐκέτι τὴν εὐτυχίαν διώξομεν.

Ὑπόθεσις ΙΒ΄.

Συνεβέλευεν ἀνωτέρω τῷ Παυσανίᾳ τὸ τῆς τύχης φυλάττεσθαι ἄσατον, ϗ μὴ τῇ παρύσῃ αὔρᾳ τοσῦτον πιστεύειν· ἀρχῆς γὰρ τῶν Ἑλλήνων ἐπιθυμῶν ὁ Παυσανίας, Βασιλεῖ τῷ μεγάλῳ ἐπὶ γάμῳ τῆς θυγατρὸς ἐκεῖνυ προδῶσειν ὑ-

πιχνεῖται τὲς Ἕλληνας· ἐπαινεῖ δὲ ἐπὶ τέτοις ὁ Μῆδος τὸ αἴτημα, ϗ τρέφει ταῖς ἐλπίσι τὸν πόθον· ὁ δὲ, τῇ τε φιλίᾳ τᾶ Βασιλέως, ϗ ἅμα τῷ ἐν Πλαταιαῖς ἐπαιρόμενος τροπαίῳ, Ἑλληνικᾶ τρόπᾳ ἐκτρέπεται, ϗ νόμων Λυκέργε καταφρονεῖ, ἀλαζονίαν Βαρβαρικὴν ἀσπασάμενος, ϗ τρόπον, ὧν πρότερων ἐκράτησε, μιμησάμενος· ἐπὶ τέτοις ἂν ἀνακαλεῖται, ϗ ἀφαιρεθεὶς τὴν δύναμιν, θανάτῳ, ἀποκαλυφθείσης τῆς προδοσίας, ὑπὸ τῶν Σπαρτιατῶν ζημιᾶται. Θεκ. περὶ τέτε ἐν τῇ πρώτῃ, ϗ Διόδωρος βιβλ. β'. ϗ πλέταρχος ἐν Θεμις· τᾶτ' αὐτὸ δὲ ϗ Θεμιςοκλῆς ἐνταῦθα αὐτῷ ὀνειδίζει· ὃ ϗ τὸ ἀθῶον αὐτᾶ ἐν οἷς ἐσυκοφαντήθη λαμπρῶς μαρτυρεῖ, ϗ ἐπαίνε ἄξιον τὸν ἄνδρα δείκνυσι.

Θεμιςοκλῆς Παυσανίᾳ χάιρειν.

Ἀπολελόγησαι ὑπὲρ τῆς τύχης, ὦ Παυσανία· δι' ὧν γὰρ ἔτως ἠτύχηκας δικαίως ἀφήρησαι ϗ ἡμᾶς τᾶ κατηγορεῖν ἔτι τῆς τύχης. Σὺ γὰρ ἐπιχειρῶν Μῆδος γενέσθαι, Λακεδαιμόνιος ὤν, ϗ Μήδοις προσιθεὶς τὴν Ἑλλάδα, ἀρχῆς μὲν ἀπεσέρησαι, ἧς ἐφ' Ἑλλησπόντῳ εἶχες, ϗ ἐξεσίας, δι' ἧς ταῦτα ἔπρασσες, αὐτὸς δὲ περιὼν καιρὸν ποθεῖς, ἐν ᾧ τῶν διεγνωσμένων ϗ δρᾶσαι δυνήσῃ, ὥςε σὺ τὴν τύχην ἠδίκηκας, ἣν τότε εἶχες, ἃ σὲ ἐκείνη. Καὶ νῦν ἔτι εὐτυχεῖς, ὅτι κινδυνεύσεις ἀκμὴν, ϗ μέλλεις ἀποθανεῖσθαι ὑπὸ Λακεδαιμονίων, ἔξεις παραμυθίαν, ὅτι ϗ ἐκ ἀδίκως ἀποθνήσκεις. Ἀρταβάζῳ ὑπερφυῶς ἔνσπονδος, ϗ Βασιλέως γαμβρὸς εἶναι ὀρέγῃ· ϗ πῶς ἴσα ἀντὶ ἴσων οἴει διδόναι τε ϗ λαμβάνειν; ὅς τις λαμβάνεις μὲν γυναῖκα βάρβαρον, ϗ γῆν μετ' αὐτῆς Καρῶν τάχα ἢ Φρυγῶν, δίδως δὲ γῆν τε τὴν Ἑλλησίδα, ϗ πόλεις τὰς Ἑλλήνων, ὐδὲ Λακεδαίμονα ἐξαίρεις· ϗ τελέσειν ἃ διέγνωκας,

κας, ὦ μάταιε, ἐλπίζεις. Ἀποτυχόντε τῆς ἐπιβελῆς, φρόνημα μόνον ἦν προδότε, τὰ δὲ ἔργα ὑςέρησεν· ἀχ ἕτως, ὦ Παυσανία, μέγα διείργεται τῆς Πελοποννήσε ἥτε Τρωὰς αὐτὴ ϗ Κολωναὶ, ἔνθασοι καταδύντι τὰ Βασιλεῖ συμφέροντα μελέτω, ὥςε τῶν σῶν ἔργων κωφὰ τἀνθάδε εἶναι. Ἀλλά σοι τὰ πρὸς Βασιλέα ἢ Πολυπνίων ἐςὶν, ἢ Γόγγυλος ὁ κάκιςος Ἐρετριέων· ἄντι ϗ τέτῳ ἀγαθῷ κέχρησαι ἀγγελιαφόρῳ· εἰς δὲ τὴν Ἑλλάδα φῆμαι ταῦτα ἀγγελιαφορᾶσι ϗ Μνησορίδας· ὃν σὺ Λακεδαιμόνιον ὄντα, ϗ μένειν τᾶτο βελόμενον, ϗ σοὶ ῥῆσιν ἀεὶ ποιέμενον τῶν ἐν Σπάρτῃ νόμων, ὑβρίσας ἔχεις, ϗ μόνος τῆς προδοσίας ἀπολαύεις. Ἀλλὰ σκόπει, ὦ σχέτλιε, εἴ τι σε Ἀρτάβαζος ὀνήσει Λακεδαιμονίων καλεσάντων, ἢ ἡ τᾶ Βασιλέως θυγάτηρ ἤδη ἥσα ὡραία γάμε· καί σοι ταῦτα ὑφ' ἡμῶν γραφόμενα πολὺ γενέσθω χαλεπώτερα ϗ δι' ἡμᾶς, ὅτι σοι ταῦτα αὐτοὶ φυγάδες ὄντες ὀνειδίζομεν.

Ὑπόθεσις ΙΓ'.

Θεμιςοκλῆς καὶ Ἀριςείδης, ᾧ ἀριςεῖον τῶν ἀρετῆς τὸ Δίκαιον δέδοται, ἀντεπολίτευον πρὸς ἀλλήλως· ἐντεῦθεν δὲ ἐπὶ μέγα χωρησάντων Θεμιςοκλεῖ τῶν πραγμάτων ϗ δυνατὸς ἐν Ἀθήναις γενόμενος, διεπράξετο πρὸς τὸν δῆμον ἐξοςρακισθῆναι τὸν Ἀριςείδην· ἕτος δ' ὁ Ἀριςείδης, καίτοι μηδὲν τοιᾶτον τὸν Θεμιςοκλέα πεποιηκὼς, μήδε μνησικακήσας, ὧν κακῶν ἐπεπόνθει, ὡς Πλέταρχος ἐν Ἀρις· ἀλλ' ἵν μὴ ἐφηθῆναι αὐτῷ φυγόντι ἐς Πέρσας τὸν ἔλεγχον ἀποφυγεῖν ἀχ οἷος τ' ἐπίπαν ἐγένετο· ἐντεῦθεν ἄρα ἐν τῷ ἀσφαλεςάτῳ ἐκεῖνος γενόμενος, ἐπιςείλας, ἐξελέγχει αὐτὸν μετ' ἐπιρείας τᾶ πάθες.

Θε-

Θεμιστοκλῆς Ἀριστείδῃ.

Ἤραμεν εἰς Πέρσας, ὦ Ἀριστείδη, ἤραμεν, καὶ οὐδὲν δεινὸν ἐπάθομεν ὑπ' αὐτῶν· οἶδα δὲ, ὅτι κατὰ σαυτὸν θαυμάσῃ, τοῖς δὲ προσποιήσῃ μὴ παρ' ἐλπίδα σοι τοῦτον τὸν λόγον λελέχθαι· ἅμα καὶ τεκμηρίῳ χρήσῃ πρὸς τὸ πλῆθος, ὅτι βεβαιοῦταί μου ἡ διαβολὴ τῇ τ' ἐμῇ εἰς ἐκείνους ἐλπίδι, τῇ τ' ἐκείνων φιλοφροσύνῃ εἰς ἐμέ. Ἀλλ' ὅταν ταῦτα ληρῆς ἔχων, ἐπιπεσεῖται σοι τὸ ἐν Σαλαμῖνι τρόπαιον· ἔσι δὲ λίθινον οἶδα καὶ νεανικῶς εὐμέγεθες, οὗ αἴτιος ἐγὼ, ἵνα μᾶλλον δῆμον ταράττοις, οὐδ' ἄλλοις εὐεργέταις φθονηθήσῃ· τὶς ἄρα δαίμων, οὐ κατὰ τὴν σὴν ἀλαζονείαν δίκαιος, ἀλλ' ἀληθινὸς, ἐκείνην τὴν πέτραν εἰς τὴν ἐπάρατόν σε καὶ ἀχάριστον κεφαλὴν ἐκβάλοι. Ἐμὲ δὲ οὐκ ἀντευποιῶν περισώζεται Βασιλεὺς ὁ μέγας, ἢ τὸ μήκιστον ἂν ἡμῖν ἐχαρίζετο ἀμειβόμενος, μαθὼν ἃ πέπονθα· ἀλλὰ τοῖς μὲν ἄλλοις ἐχθρὸν ἥδει με αὐτοῦ, τῆς δ' ἀρετῆς ἐθαύμαζε, καὶ τῆς τύχης ᾤκτειρε. Τοιγάρτι κινδυνεύετε αὐτοὶ εἰ περὶ ἐμοῦ ἐπιπρεσβεύεσθε παρ' ἐκεῖνον, ὅτι περ αὐτοὶ ἠδικεῖτε, ἵν' ἐκεῖνος βοηθείῃ ἀδικουμένῳ, αὐτοί τε ἐλεεινὸν ἐποιεῖτε ἐκβάλλοντες· ὁ δὲ ἄρα ᾤκτειρεν εἰκότως ἐκβεβλημένον. Ἀλλ' οὐ γὰρ ἐλεεινοὶ τὰ νῦν ἔτι οἱ φυγάδες ἡμεῖς· ὥσε πνιγέσθω μὲν ὁ Λυσιμάχου υἱὸς Ἀριστείδης· πνιγέσθω δὲ πᾶς, ὅτῳ μὴ καθ' ἡδονὴν ἐσιν, ὅτι δεξιώτερον ἡμῖν ἀπήντηκεν, ἢ ὡς αὐτὸς ἤλπιζεν.

Ὑπόθεσις ΙΔ'.

Θεμιστοκλῆς καὶ Παυσανίας ὅμοιοι ἦσαν ἀλλήλοις τύχῃ καὶ ἀρετῇ· ὧν ὁ μὲν φρονήσει καὶ πολεμικῇ ἐμπειρίᾳ ἐν δυσὶ ναυμαχίαις τοὺς Μήδους πολλῷ ὑπερβάλλοντας ἀριθμῷ νεῶν καὶ πλήθει στρατοῦ, παρὰ δόξαν ἐνίκησεν· ὁ δὲ, Μαρδόνιον τὸν Βα-

σιλέως στρατηγὸν φοβερὰν τριάκοντα μυριάσι στρατοῦ ἐλθόντα ἐπὶ τοὺς Ἕλληνας, ἐν Πλαταιοῖς ἐπισημοτάτῃ νίκῃ κατηγωνίσατο, ἄξιοι ἀμφότεροι γεγονότες ἐντεῦθεν σωτῆρες τῆς Ἑλλάδος ἀκοῦσαι· χρόνῳ δ' ὕσερον ὁ πολλῷ ἐπὶ μέγα μὲν προϊόντων τῶν πραγμάτων τῷ Παυσανίᾳ, τῷ δὲ Θεμιστοκλεῖ ὡς ἑτέρως μεταπιπτόντων, κατεμέμφετο ὁ Ἀλκέτας αὐτοῖ, πρὸς οὓς ἡ ἐπιστολὴ, τὴν τύχην αὐτὴν, ὡς δῆθεν ἐκλιποῦσα Θεμιστοκλέα, τὸν Παυσανίαν ἑαυτῇ ὅλως προσῳκειώσατο· μεταβαλόντων δ' ἐν τῶν πραγμάτων μετὰ ταῦτα κἀκείνῳ ἐς ἔσχατον δυσυχίας, ἀναμιμνήσκει τὸν φίλον Ἀλκέταν, ὃ πολλάκις ἐκεῖνος ἐν τῷ πρόσθεν χρόνῳ καταμεμφόμενος ἔλεγεν, ὀδυρόμενος μὲν αὐτῷ τὴν φυγὴν, μακαρίζων δὲ τῷ Παυσανίᾳ τὴν τύχην· καὶ ὕτω διέξεισι πρὸς αὐτὸν, ἀφ' οἵας ὑπεροχῆς, ἐφ' οἷον ἐν ἀκαρεῖ καταπέπτωκε βόθρον ὁ Παυσανίας· ὃ καὶ εὐτυχέσερον ἑαυτὸν πολλῷ νομίζει τῷ μέτρῳ, εἴγε ὁ μὲν, ἐπιθυμίᾳ ἀρχῆς, καὶ προδοσίας μελέτῃ, παρανομήσας ἀπέθανεν, αὐτῷ δὲ φθόνος συμπολιτῶν ἀρετῆς τῆς αὐτοῦ ἕνεκα τῆς φυγῆς ἐγένετο αἴτιος.

Θεμιστοκλῆς Ἀλκέτᾳ χαίρειν.

Εἰώθεις, ὦ Ἀλκέτα, ἅμα τὴν ἐμὴν ὀδυρόμενος φυγὴν μακαρίσαι τὴν Παυσανίου τύχην· καὶ πολλάκις ἔγραψας σύγε, ὡς ἀποδρᾶσα ἡμῶν ἡ δαίμων, ἑαυτὴν προὔθηκε Παυσανίᾳ. Οἴχεταί σοι μετ' αὐτῆς ἀνὴρ ἐκεῖνος, ὦ Ἀλκέτα. Οἴχεται μὲν [ἡ] ἐφ' Ἑλλησπόντῳ ἀρχὴ τοσαύτη ἔσα. Οἴχεται δὲ ὁ πλοῦτος καὶ τὸ ἄχρι Βασιλέως ὄνομα· καὶ οὐδὲ ταφῆναι αὐτῷ τελευτήσαντι ἕτοιμον γέγονεν. Οἱ δὲ μάλισα θαυμάσαντες Παυσανίαν, νῦν μάλισα καὶ τοῦ ὀνόματος αὐτοῦ ἀπέχονται, πολλῶν τοὺς ἀκουσομένους κακῶν ἀναπλήσαντος· ὥσε σοι ὥρα μήτε μακαρίζειν

ζειν ἔτι τῦ μεγέθυς Παυσανίαν, μήτε μὴν ὀδύρεσθαι τῆς νῦν καταστροφῆς. Δίκαια γὰρ νῦν δὴ πέπονθε, ᾗ ἐπαινέμεν αὐτῦ τὴν τιμωρίαν· ᾗ εἰ σφόδρα ἐκπέπληξαι τὸ ἄμετρον τῆς μεταβολῆς ἐννοούμενος, ἀπολύσομέν σε τῆς ἐκπλήξεως, φήσαντες, οἵας ᾗ ἡμᾶς ἀπέλυσεν εἰς αὐτὸς ἀνὴρ ἐλθὼν οἰμωγῆς· ᾗ μεταβαλλόμενος θαύμαζε, ὅτι τοιῦτος ὢν περιῆν ἐκεῖνος, ᾗ εὐτύχει ποτὲ, ᾗ χρόνῳ πολλῦ ἀπέλαυεν. Ἐπώλει Παυσανίας Βασιλεῖ τὴν Ἑλλάδα, ᾗ Μήδυς ἐφίλει ᾗ ἐμμεῖτο, ᾗ ἤχθετο ὅτι Ἕλλην εἴη, ᾗ ὰ τῶν ἐπὶ τὴν Ἑλλάδα ἐλθόντων· ᾗ ἐπεὶ ἐδόκει ἀπολογεῖσθαι τῷ ἐν Πλαταιαῖς ἔργῳ μὴ κακὸς εἶναι, πιστεύεται τὴν ἐφ' Ἑλλησπόντῳ στρατηγίαν. Καὶ αὐτίκα διὰ τῆς στρατηγίας ἀπελογεῖτο Μήδοις, ὅτι ὐδ' ἐν Πλαταιαῖς ἑκὼν ἀγαθὸς ἐγένετο, ποινὴν δὲ ἐκείνυ τῦ ἔργυ ἀντεδίδυ τὴν Ἑλλάδα αὐτοῖς· ᾗ Ἀρταβάζῳ συνετίθετο ὄντι σατράπῃ Βασιλέως ἐπὶ ταῖς πρὸς θάλασσαν ἔθνεσιν. Αὐτός τε Βασιλεῖ ταῦτα ἤγγελλε, ᾗ αὐτὸς ἤδη Μῆδος ἦν ᾗ γνώμῃ ᾗ διαίταις, ᾗ ὐδὲ ἡ ἐσθὴς αὐτὸν ἔτι Ἕλληνα ἐποίει. Ταῦτα δὲ, ὥς πυ ᾗ αὐτὸς ἔγνωκας, εἰς Λακεδαιμονίες ἐκόμισεν ἀγγελία, ᾗ αὐτίκα ἐκίνησε μὲν, καίπερ ὀλίγα ἔσα, πλέον δὲ ὐδέν· ἐπεὶ δὲ διεβοήθη, ἀπέτισε Παυσανίας, ᾗ ἀφαιρεθεὶς τὴν ἀρχὴν ἰδιώτης ἀντὶ στρατηγῦ γίνεται. Εὐθὺς γὰρ εἰς τὴν Ἀσίαν κομισθεὶς, ᾗ ὀργῆτε ᾗ ἀμύνῃ φέρων τὴν ἀφαίρεσιν τῆς στρατηγίας, θερμοτέρων ἥπτετο πραγμάτων· κρύφα δὲ ἀκμὴν ἔπρασσεν, ὐκ αἰσχυνόμενος ἐπ' αὐτοῖς εἰμὴ λανθάνοι, ἀλλὰ φοβούμενος, εἰ ἐμπέσοι ἀποτυχεῖν. Αὐτίκα γὰρ ἅπασαν συνθεὶς τὴν προδοσίαν, ἔμελλεν ἀναφανδὸν μετασήσασθαι πρὸς Βασιλέα· τὸ δ' ἓν μηχάνημα τῆς κρυφίυ διαπέμψεως τοιῦτον ἑαυτῷ κατεσκεύασο, ὑφ' ᾧ δὴ μάλισα ᾗ ἐσώθη χρόνον τινὰ, ᾗ αὖθις ἀπώλετο. Ἄγγελον τὸν ἀεὶ πεμπόμενον ὑπὸ Παυσανίυ θάνατος παρὰ Ἀρταβάζυ ἐδέχετο· ἐπέτελλε γὰρ δὴ Παυ-

